CATALOGUE

OF THE

GREEK MANUSCRIPTS ON MOUNT ATHOS.

London: C. J. CLAY AND SONS,
CAMBRIDGE UNIVERSITY PRESS WAREHOUSE,
AVE MARIA LANE.
Glasgow: 50, WELLINGTON STREET.

Leipzig: F. A. BROCKHAUS.
New York: THE MACMILLAN COMPANY.
Bombay: E. SEYMOUR HALE.

ΠΡΟΛΟΓΟΣ

Μετὰ τὴν ἐν ἔτει 1895 ἔκδοσιν τοῦ πρώτου τόμου τοῦ μετὰ χεῖρας Καταλόγου ὑπελείποντό μοι ἐν χειρογράφῳ μόνοι οἱ κατάλογοι τῶν κωδίκων τῶν εὐαγῶν μονῶν Ἰβήρων καὶ Ἁγίου Παντελεήμονος. Ἀλλά, μαθών, ὅτι ταύτης τῆς μονῆς ἡ βιβλιοθήκη, μόνον 255 κώδικας ἑλληνικοὺς κεκτημένη κατὰ τὴν ἐν ἔτει 1880 ἐμὴν ἐν τῷ Ἁγίῳ Ὄρει διατριβήν, εἶχεν ἐν τῷ μεταξὺ χρόνῳ μεγάλως πλουτισθῇ διὰ προσκτήσεως πλείστων ὅσων νέων κωδίκων, ὑπέλαβον ἐπιβαλλομένην μοι δευτέραν εἰς Ἅγιον Ὄρος ἐπιδημίαν. Σκοπὸς δὲ ταύτης οὐκ ἦν μόνη τοῦ καταλόγου τῆς μονῆς ταύτης ἡ συμπλήρωσις, ἀλλὰ καὶ ἡ ἀναγραφὴ τῶν κωδίκων τῶν ἀποκειμένων ἐν ταῖς μοναῖς Λαύρας καὶ Βατοπεδίου, ταῖς μόναις μὴ συμπεριληφθείσαις εἰς τὸ παρ' ἐμοῦ τῷ 1880 συντελεσθὲν ἔργον, καὶ τῶν ἐν σκήταις δὲ σποράδην κατακειμένων. Ἀνεκοίνωσα δὲ τὴν ἐμὴν πρόθεσιν τοῖς προφρόνως ἰθύνουσι τὰ τοῦ Κανταβριγιακοῦ τυπογραφείου, οἳ προθύμως ἀνέλαβον τὰς δαπάνας νέας ἀποστολῆς, ἐφ' ᾧ μυρίας ἀπονέμω αὐτοῖς τὰς χάριτας.

Ἠκολούθησαν δέ μοι τὸ δεύτερον ἐπιφοιτήσαντι εἰς τὸ Ἅγιον Ὄρος ἐπὶ μῆνας δύο καὶ ἥμισυν τὸ θέρος τοῦ 1895, οὐδενὸς φεισάμενοι πόνου πρὸς ἐπιτέλεσιν τοῦ βαρέος ἔργου, τῶν μὲν τῷ 1880 μετ' ἐμοῦ συνεργασθέντων ὁ φίλτατός μοι διδάκτωρ τῆς φιλολογίας καὶ νῦν γενικὸς ἐπιθεωρητὴς τῶν δημοτικῶν σχολείων Φίλιππος Γεωργαντᾶς, πρὸς δ' αὐτῷ ἐκ τῶν νεωτέρων μου ὁμιλητῶν ὁ Σωκράτης Κουγέας, τότε μὲν φοιτητής, νῦν δὲ διδάκτωρ τῆς φιλολογίας, ὁ Ἀδαμάντιος Ἀδαμαντίου, τότε μὲν φοιτητής, νῦν δὲ διδάκτωρ τῆς φιλολογίας καὶ διευθυντὴς τῆς ἐν Ταϊγανίῳ τῆς Ῥωσίας ἑλληνικῆς σχολῆς, καὶ ὁ Βασίλειος Καργαδούρης, τότε μὲν φοιτητής, νῦν δὲ τελειόφοιτος τῆς φιλολογίας.

Ἀλλὰ τῆς ἀποστολῆς ἐκείνης ὁ σκοπὸς ἐν μέρει μόνον ἐπετεύχθη, ἅτε τῶν πατέρων τῶν εὐαγῶν μονῶν Λαύρας καὶ Βατοπεδίου οὐκ ἐπιτρεψάντων μοι τὴν σύνταξιν τοῦ καταλόγου τῶν ἐν αὐταῖς ἀποκειμένων κωδίκων. Αὐτοὶ δ' ἐχόμενοι τοῦ ἔργου, τοὺς ἰδίους θησαυροὺς διὰ τῶν ἰδίων γνώσεων προτιμῶσιν ἀναδεῖξαι καὶ ἐμφανεῖς τῇ ἐπιστήμῃ μεταδοῦναι. Φθόνος οὐδείς. Οἱ δὲ Ῥῶσοι τοῦ Ἁγίου Παντελεήμονος, στέργοντες τὴν τῶν θύραθεν εἰς τὰ ἑαυτῶν ἀνάμιξιν, προθύμως συνεχώρησάν μοι ἐξαιτησαμένῳ τὴν τοῦ καταλόγου συμπλήρωσιν. Ἐν τῇ αὐτῇ δ' ἀποδημίᾳ ἠδυνήθην καταλέξαι μὲν τοὺς κώδικας τῆς σκήτης Καυσοκαλυβίων τούς τ' ἐν τῷ Κυριακῷ τῆς Ἁγίας Τριάδος καὶ τοὺς ἐν τῇ καλύβῃ τῆς φιλοκάλου ἀδελφότητος τῶν Ἰωασαφαίων ζωγράφων, ἀναγράψαι δὲ καὶ τοὺς ἀπὸ τοῦ 1880 προσθέτους κώδικας τῶν εὐαγῶν μονῶν Γρηγορίου καὶ Καρακάλλου καὶ ἄλλα δέ τινα ἐπανορθῶσαι καὶ συμπληρῶσαι, ἐν ταῖς Διορθώσεσι καὶ Προσθήκαις ἐν τέλει τοῦδε τοῦ τόμου συμπεριληφθέντα. Συμπεριέλαβον δ' εἰς τὸν Κατάλογον καὶ ἓν ψαλτήριον τῆς ῥωσικῆς σκήτης τοῦ Προφήτου Ἠλιοῦ, τῶν μοναχῶν αὐτῆς μετ' ἐπιμόνους μου αἰτήσεις

τοῦτον καὶ μόνον τὸν κώδικα ἐπιδειξαμένων μοι, εἰ καὶ ὑπάρχουσιν οἱ νομίζοντες, ὅτι καὶ ἄλλοι ἑλληνικοὶ κώδικες εὕρηνται ἐναποκεκρυμμένοι ἐν τῇ σκήτῃ. Τέλος δ' οἱ πατέρες τῆς σκήτης Ἁγίου Ἀνδρέου, ἐν ᾗ ἀπόκεινται ἄλλοι τε κώδικες ἑλληνικοὶ καὶ τῶν παρὰ τοῦ Σεβαστιανὼφ δ' ἐξ ἁγιορειτικῶν μονῶν συλλεχθέντων τινὲς, καίπερ ἐπισπερχῶς μου δεομένου, ἀνέβαλον εἰς ἄλλοτε τὴν καταγραφὴν τῶν παρ' ἑαυτοῖς χειρογράφων βιβλίων.

Οὕτω δὴ ὁ νῦν τοῖς φίλοις τῆς ἑλληνικῆς παιδείας παραδιδόμενος δεύτερος τόμος τοῦ Καταλόγου περιλαμβάνει πλὴν τῶν βραχέων ἐν τέλει συμπληρωμάτων, περὶ ὧν ἐποιησάμην λόγον, δύο μάλιστα μεγάλας ἀναγραφὰς, τὴν τῶν κωδίκων τῆς μονῆς Ἰβήρων καὶ τὴν τῶν τῆς μονῆς Ἁγίου Παντελεήμονος. Καὶ ἡ μὲν τῶν ἰβηριτικῶν κωδίκων ἀναγραφή ἐστιν ἡ ἐν ἔτει 1880 παρ' ἐμοῦ καὶ τῶν περὶ ἐμὲ γενομένη. Ἡ δὲ τῶν τῆς ῥωσικῆς μονῆς ἐστι τὸ πλεῖστον νέα, ἅτε τῶν πλείστων κωδίκων προςκτηθέντων μετὰ τὸ 1880. Προφρονέστατα δ' ἐπεκούρησέ μοι ἐργαζομένῳ σὺν τοῖς περὶ ἐμὲ ὁ τῆς μονῆς λογιώτατος καὶ ἀγαθώτατος βιβλιοφύλαξ, πατὴρ Ματθαῖος, ὃς καὶ παρέσχε μοι πρὸς χρῆσιν ἣν εἶχεν ἤδη συντεταγμένην ἑλληνιστὶ βραχεῖαν τῶν κωδίκων ἀναγραφήν. Ἀλλὰ καὶ μετὰ τὴν ἐξ Ἁγίου Ὄρους ἀναχώρησιν προθυμότατος ἀεὶ ἐδείχθη ἐπιστέλλων μοι περὶ τῶν ἐμῶν ἐρωτημάτων καὶ συμπληρῶν εἴ τι κενὸν καὶ δεόμενον διαφωτίσεως ὑπῆρχεν ἐν τῷ ἐμῷ καταλόγῳ. Οὐ μὴν ἀλλὰ καὶ ὅλως ἴδιον ἑαυτοῦ ἔργον ἐστὶν ἡ ἀναγραφὴ τῶν τ' ἐν τῇ βιβλιοθήκῃ τοῦ τυπικαρείου τοῦ Καθολικοῦ τῆς μονῆς ἀποκειμένων κωδίκων (ἀρ. 6360—6407) καὶ τῶν μουσικῶν χειρογράφων βιβλίων (ἀρ. 6408—6534). Ἐπὶ πᾶσι δὲ τούτοις μυρίας ὁμολογῶ χάριτας τῷ εἰλικρινεῖ τούτῳ τῶν γραμμάτων φίλῳ.

Οὕτω δ' ἐκ τῶν ἐνόντων περατώσας τὸ ἐμὸν ἔργον καὶ παραδίδων αὐτὸ ἀποτετελεσμένον τό γε νῦν ἔχον, κηρύττω ἐμαυτὸν πρόθυμον συμπληρῶσαι αὐτὸ διὰ τῆς ἀναγραφῆς τῶν κωδίκων τῶν ἀποκειμένων ἐν Λαύρᾳ, Βατοπεδίῳ καὶ Ἁγίῳ Ἀνδρέᾳ (Σεραγίῳ), ἄν ποτε ἄλλα δόξῃ τοῖς ἐν αὐτοῖς μονάζουσιν.

Ἀπαρτίζων δὲ τοὺς πίνακας τοὺς προσαρτηθέντας ἐν τέλει τῆς συγγραφῆς, ἐμερίμνησα ὅσον ἐνῆν πληρεστέρους αὐτοὺς παρασκευάσαι, ἵνα ὡς χρησιμώτατοι γένωνται τοῖς ἐντευξομένοις. Ὁμολογῶ δὲ, ὅτι πολλήν μοι δυσχέρειαν παρέσχεν ἡ ἐν ἰδίῳ πίνακι ἀναγραφὴ τῶν βιβλιογράφων. Καὶ δὴ, ὥς ἐστιν ἰδεῖν ἐκ τοῦ οἰκείου πίνακος, ὀλίγοι τινές εἰσιν οἱ τῷ οἰκογενειακῷ ὀνόματι δηλούμενοι, οἱ δὲ πλεῖστοι φέρουσιν, ὡς εἰκὸς ἐν πολιτείᾳ μοναχικῇ, τὸ μοναστικὸν αὐτῶν ὄνομα. Ἐντεῦθεν πλεῖστοι ὅσοι οἱ ὁμώνυμοι καὶ περὶ τοὺς αὐτοὺς χρόνους βιώσαντες, οὓς δυσχερὲς ἦν ὡς τὸ πλεῖστον ὑπολαβεῖν τοὺς αὐτοὺς ἢ διαστεῖλαι ἀπ' ἀλλήλων. Καὶ ἔνθα μὲν προέκειντό μοι ὁμώνυμοι βιβλιογράφοι περὶ τοὺς αὐτοὺς χρόνους βεβιωκότες, ἅμα δ' ἐν τῇ αὐτῇ μονῇ τὰς διατριβὰς ποιούμενοι, ἧττον ἐπισφαλές μοι ἔδοξε τοὺς τὸ τοιοῦτον ὄνομα φέροντας κώδικας ὑπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀνδρὸς γεγραμμένους ὑπολαβεῖν, εἰ καὶ ὑπέκειτο ὁπωσδήποτε ἀμφιβολία, μή τοι πλείονες μοναχοὶ ἐν τῇ αὐτῇ συγχρόνως μονάζοντες μονῇ ὁμωνύμως ἐκαλοῦντο. Οὐδ' ἐχρησάμην τούτῳ καὶ μόνῳ τῷ τεκμηρίῳ πρὸς τὸ ταὐτίσαι ἢ διαστεῖλαι τοὺς ὁμωνύμους. Οὕτω δὴ τοὺς τέσσαρας κώδικας τοὺς ὑπ' ἀριθμὸν 1142, 1196, 1851 καὶ 2962 γεγραμμένους ἐν αἰῶνι δεκάτῳ τετάρτῳ ὑπὸ μοναχῶν καλουμένων Γερασίμων, ὑπήγαγον εἰς τρεῖς διαφόρους ἀλλήλων ὁμωνύμους, ὧν εἷς καὶ μόνος ἐστὶ προφανῶς ὁ αὐτὸς, ὁ γράψας τοὺς δύο πρώτους, ἅτε πλησιαζόντων μὲν ἀλλήλοις τῶν ἐτῶν 1365 καὶ 1369, ὅτ' ἐγράφησαν, ἀνηκόντων δ' ἀμφοτέρων τῇ αὐτῇ μονῇ, τῇ τοῦ Παντοκράτορος, καὶ τοῦ βιβλιογράφου δ' ἄλλως διὰ χωλιάμβων ὁμοιαζόντων ἀλλήλοις δηλώσαντος τὸ ἴδιον ὄνομα. Καὶ ἄλλοτε δὲ ἡ ὁμοιότης τοῦ σημειώματος τοῦ βιβλιογράφου, τὸ ἔμμετρον ἢ μὴ αὐτοῦ, ἡ ἐκ τῆς αὐτῆς γενετείρας καταγωγὴ καὶ ἡ ταὐτότης τῶν προσνεμομένων ἐπιθέτων, ἁμαρτωλὸς, τάλας, οἰκτρὸς, ῥακενδύτης καὶ τῶν τοιούτων, ἐφάνη μοι ἕνα καὶ τὸν αὐτὸν ἄνδρα δηλοῦσα. Οὕτως εἷς καὶ ὁ αὐτὸς φαίνεται ὁ Θεόφιλος ἐκεῖνος τοῦ ιϛ' αἰῶνος ὁ γράψας μεταξὺ τῶν ἐτῶν 1523—1548 τοὺς κώδικας 60, 61, 75, 1364, 2175, 4903, 4953,

5925 καὶ 5928, καίπερ ἐν διαφόροις βιβλιοθήκαις σποράδην ἀποκειμένους, ἅτε τὸν αὐτὸν ἅπαντας φέροντας στίχον Θεοῦ τὸ δῶρον καὶ Θεοφίλου πόνος, ἑπομένου τοῦ ἔτους καθ᾽ ὃ ἐγράφη ὁ κῶδιξ διὰ τῶν λέξεων ἔτους ἢ ἐν ἔτει, προστιθεμένου δ᾽ ἐνίοτε καὶ τοῦ τόπου ἐν ᾧ ἐγράφη. Ἡ δ᾽ ἀνὰ διαφόρους μονὰς διασπορὰ κωδίκων γεγραμμένων παρὰ βιβλιογράφου, ὃν ἕνεκα τῶν διαφόρων ἀνωτέρω καταλεχθέντων τεκμηρίων δικαιούμεθα ὑποτοπάσαι ἕνα καὶ τὸν αὐτὸν, ἐξηγεῖται εἴτ᾽ ἐκ τῆς ἐν τῷ μακρῷ χρόνῳ μετακομίσεως τοῦ κώδικος ἀπὸ μονῆς εἰς μονὴν εἴτ᾽ ἐκ τῆς φήμης ἣν ἐκτήσατό τις βιβλιογράφος ἀντὶ μισθοῦ κατὰ παραγγελίαν ἀντιγράφων. Καὶ ἐν τοῖς καθ᾽ ἡμᾶς δὲ χρόνοις ἀνεδείχθησαν τοιοῦτοι βιβλιογράφοι, οἷοι οἱ δύο Ἰάκωβοι, ὁ πρεσβύτερος, ὁ καὶ διδάσκαλος ἐπονομαζόμενος, καὶ ὁ νεώτερος, ὁ Χῖος καὶ Προδρομίτης, ὁ Ἀμφιλόχιος ὁ ἄλλοτε μὲν ἱεροδιάκονος, ἔπειτα δὲ Πηλουσίου, καὶ οἱ μέχρι τοὐλάχιστον τοῦ 1895 ζῶντες Παῦλος ὁ παρὰ τὴν Λαύραν κελλιώτης καὶ Συμεὼν ὁ Σαμιώτης. Καὶ σπάνια δὲ ὀνόματα περὶ τοὺς αὐτοὺς χρόνους ἀπαντῶντα πιθανωτάτην ἀναδεικνύουσι τὴν ὑπὸ τοῦ αὐτοῦ ἀνδρὸς γραφὴν τῶν ἀπ᾽ αὐτῶν φερωνυμουμένων κωδίκων. Τέλος δὲ παρατηρητέον, ὅτι οὐ παρακωλύει τὴν εἰς ἕνα καὶ τὸν αὐτὸν ἄνδρα ἀπόδοσιν τῆς γραφῆς πολλῶν κωδίκων ἀπόστασις μακρῶν ἐτῶν ἐν τῇ γραφῇ αὐτῶν. Καὶ γὰρ ἔχομεν οὐκ ὀλίγους ἀναμφιλέκτως μακροβίους βιβλιογράφους, οἷον πλὴν τοῦ ἀνωτέρω ῥηθέντος Θεοφίλου τὸν οἰκονόμον Πωγωϊαννῆς Γγῖνον, μεμαρτυρημένως γράφοντα κώδικας ἐπὶ ἑπτὰ ὅλα καὶ τεσσαράκοντα ἔτη (1601—1648), τὸν Εὐφρόσυνον ὁμοίως ἐπὶ ἔτη τριάκοντα (1553—1583), τὸν Μπαλάσιον ἐπὶ ἔτη ἐννέα καὶ εἴκοσι (1672—1701) καὶ ἄλλους.

Καὶ τοιαῦτα μὲν τὰ τεκμήρια, οἷς ἐχρησάμην τὰ περὶ τοὺς βιβλιογράφους φυλοκρινῶν· εὐκταία δὲ πάντως ἔσται ἥ τε τῶν Ἁγιορειτῶν καὶ ἡ τῶν ἀλλαχοῦ βιβλιογράφων βεβαίωσις δι᾽ ἐκδόσεως ποτε τελείας συλλογῆς πανομοιοτύπων τῆς γραφῆς ἑκάστου, τοῦθ᾽ ὅπερ ἔσται μέγα βοήθημα τῶν περὶ τὴν ἑλληνικὴν παλαιογραφίαν σπουδαζόντων.

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΣ.

Ἀθήνησι, 20 Ἰουνίου 1900.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΙΘ΄

ΚΩΔΙΚΕΣ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΗΣ ΜΟΝΗΣ ΙΒΗΡΩΝ

***4121.** 1. Περγ. φύλλ. VIII. σελ. 2. (φ. 312). Εὐαγγέλιον.

Μετὰ φωνῶν. Τὸ ὅλον μῆκος τῶν φύλλων τοῦ κώδικος 0,40, τὸ δὲ πλάτος 0,27, ἑκατέρα δὲ τῶν σελίδων ἔχει πλάτος 0,072 μέχρις 0,080 καὶ περιέχει 19 στίχους, ὧν ἕκαστος περιλαμβάνει γράμματα 9 μέχρι 12. Ἕκαστον δὲ γράμμα ἔχει συνήθως μῆκος 0,008.

Ἐν φ. 155 α—β μείναντος χώρου ἀγράφου ἐγράφησαν χερσὶ νεωτέραις (αἰῶν. XI καὶ XIV) εὐαγγέλιά τινα καὶ βραχὺ ἔγγραφον περὶ κληροδοτηθείσης ἀμπέλου (,ϛωξδ΄=1356).

Ἐν φ. 312 β διὰ γραμμάτων τοῦ μικρογραμμάτου ῥυθμοῦ· Ἐσταχώθη παρα χειρὸς τοῦ πρωτοπαπᾶ Σαλ (=Σαμουήλ;) τῆς Φούνας μὴν Ἀπρίλλιος είς τὰς κέ ἔτους ,ϛϡιε΄ ἰνδικτιῶνος ιε΄ (=1407) καὶ ἐδώθη πρὸς τὸν τοῦ παπᾶ Θωμὰν υἱὸν τοῦ ποτὲ παπᾶ Γεωργίου τοῦ ϛ΄άρχου (=ἐξάρχου) τῆς Φούνας.

Ἔστι δὲ τὸ περικάλυμμα ἐξ ὁλοσηρικοῦ καὶ φέρει ἔμπροσθεν μὲν ἔκτυπα ἀργυρᾶ μετάλλια καὶ ἐν τῷ μέσῳ σταυρὸν, ἐν ᾧ εὕρηται ἔντυπος ὁ Ἐσταυρωμένος μετὰ καὶ τῆς ἐπιγραφῆς ω νη Θεοδωρου Σταθη Γεοργη Μαρουλα, ὄπισθεν δ' ἀργυροῦν μετάλλιον παριστῶν τὸν Σωτῆρα.

Ἔχει δὲ ὁ κῶδιξ τἀρχικὰ γράμματα διάκοσμα καὶ φέροντα εἰκόνας. Κοσμεῖται δὲ καὶ ὑπὸ κομψῶν ἐπιτίτλων (φ. 2 α, 55 α, 112 β, 216 α, 286 β) καὶ τριῶν εἰκόνων μετρίας τέχνης· α΄ (φ. 1 β) εἰκὼν πολύχρωμος ἐπιγεγραμμένη Ἡ ΑΝΑ΄CΤΑCΙC. β΄ (φ. 242 β). Ἡ ΓΕ΄ΝΝΗCΙC ΤΟΥ̑ CΩΤΗ̑ΡΟC εἰκὼν καταλαμβάνουσα ὅλην τὴν σελίδα.—γ΄ (φ. 303 β). Ἡ ΜΕΤΑΜΟ΄ΡΦΩCΙC εἰκὼν μήκους 0,22 καὶ πλάτους 0,19. Ἴδε τὸ ἀπείκασμα αὐτῆς παρὰ Brockhaus Die Kunst in den Athosklöstern. Ἐν Λειψίᾳ. 1891. Πίν. 25.

Τὸ φ. 131 ἀπεσχισμένον ἐν τοῖς ἄνω.

***4122.** 2. Περγ. φύλλ. XII. (φ. 265). Τετραευάγγελον.

Μετὰ παρασελιδίων σημειώσεων περιεχουσῶν ἴσως τὰ Ὑπομνήματα **Ἰωάννου τοῦ Χρυσοστόμου**. Ἐν φ. 10 α—15 α ἐπὶ χάρτου (αἰῶν. XVI) "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου** ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ **Χρυσοστόμου** Ὑπόμνημα εἰς τὸν ἅγιον Ματθαῖον τὸν εὐαγγελιστήν."

Ἐν φ. 265 β εὕρηται σημείωσις περὶ τοῦ βιβλιογράφου καὶ τῆς μονῆς εἰς ἣν ἀνῆκε τὸ πάλαι ὁ κῶδιξ· ἀλλ' ἔστι διεξεσμένη καὶ ἀμυδρὰ, διακρίνονται δὲ μόνον αἱ λέξεις τῆς Σκουταριωτήσης. Ἐν τῷ αὐτῷ δὲ φύλλῳ κατωτέρω, χειρὶ πιθανῶς τοῦ πατριάρχου Κωνσταντινουπόλεως Διονυσίου· παρὰ τίνος ἐγραφη καὶ πότε οὐκ ἔστιν φανερὸν, ἀφιερωθὲν φαίνεται τὸ ἔτος ,ϛωλθῳ Φεβρουαρίου κηῃ. Ἐν δὲ φ. 22 α· Καὶ τόδε πτ (=ποτὲ) Κωνσταντινουπόλεως Διονυσίου τοῦ ἐκ Βύζαντος (πατριαρχεύσαντος 1672, 1676, 1682–84). Ἐν δὲ φ. 20 α·

Ἡ βίβλος αὔτη πέφυκε τῆς παντουργοῦ Τριάδος
τῆς ἐν τῇ νήσῳ Χάλκης τε μονῆς τῆς τοῦ Ἐσόπτρου...

Τῶν εὐαγγελίων προηγοῦνται κομψὰ ἀψιδοειδῆ κοσμήματα, ἐν οἷς φέρονται γεγραμμένοι ἐντὸς στύλων οἱ Κανόνες τῆς συμφωνίας τῶν εὐαγγελίων.

Κοσμεῖται δὲ ὁ κῶδιξ ὑπὸ κομψῶν ἐπιτίτλων (φ. 22 α, 94 α, 134 α καὶ 207 β) καὶ τῶν εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν (φ. 20 β, 93 β, 133 β καὶ 206 β). Διατηροῦνται δ' αἱ εἰκόνες καλῶς, αἱ δὲ κεφαλαὶ εἰσιν ἐξαιρέτως ζωηραὶ καὶ ἔντεχνοι.

4123. 3. Περγ. 4. XIII. σελ. 2. (φ. 301). Εὐαγγέλιον.

Μετὰ φωνῶν. Ἀκέφαλον καὶ κολοβόν.

***4124.** 4. Περγ. 4. XII. σελ. 2. (φ. 205). Εὐαγγέλιον.

Μετὰ φωνῶν ἐρυθρῶν. Ἀκέφαλον.

Κοσμεῖται ὑπὸ ἐπιτίτλων. Καὶ αἱ μὲν ἐπιγραφαὶ εἰσι γεγραμμέναι γράμμασι χρυσοῖς, τὰ δὲ ἀρχικὰ γράμματα διάκοσμα.

***4125.** 5. Περγ. 8. XII. (φ. 460). Εὐαγγέλιον.

Τἀρχικὰ γράμματα χρυσᾶ.

Κοσμεῖται δὲ ὁ κῶδιξ ὑπὸ 36 εἰκόνων ἀτέχνων, ἐν αἷς αἱ τῶν

τεσσάρων Εὐαγγελιστῶν, αἱ δὲ λοιπαὶ παριστῶσι σκηνὰς ἐκ τῶν τοῦ Εὐαγγελίου, ὧν τὸ σύνηθες πλάτος 0,13, τὸ δὲ μῆκος 0,08. Τῶν εἰκόνων τὸ βάθος πάντοτε χρυσοῦν, αἱ δὲ κεφαλαὶ ἀξιόλογοι, ἰδίως δὲ ἡ τοῦ Χριστοῦ. Ἡ ἐν φ. 456 β εἰκὼν παρίστησι πρὸ τοῦ Ἰησοῦ ἅγιον κρατοῦντα εἰλητάριον, ἐν ᾧ γέγραπται· Ὁμωνύμῳ σοι τὴν [κ]λύσην Ἰωάννου. γγράφοις καὶ πο... Ὁ δὲ Ἰησοῦς κρατεῖ ἐπὶ τῶν γονάτων Εὐαγγέλιον. Ἡ ἐπιγραφὴ τοῦ εἰληταρίου ἀναφέρεται πάντως εἰς τὸν γράψαντα ἢ ἀναθέντα τὴν βίβλον. Ἐν δὲ φ. 457 α εἰκονίζεται ἡ Θεοτόκος φέρουσα ἐν τῇ δεξιᾷ εἰλητάριον, διὰ δὲ τῆς ἀριστερᾶς ἄγουσα νεανίαν κρατοῦντα διὰ τῆς ἀριστερᾶς εἰλητάριον, προφανῶς προοριζόμενον εἰς ἀνάθεσιν. Φέρει δ' ὁ νεανίας ἱμάτιον ποδῆρες κυανοῦν, ἄνω δ' αὐτοῦ γέγραπται Ι̅ Ω̅ (=Ἰωάννης). Ἐν δὲ τῷ εἰληταρίῳ ἀναγινώσκονται τάδε τὰ ἰαμβεῖα, γεγραμμένα καταλογάδην·

...καὶ τὴν λύσιν βράβεβε τῶν ἐπταισμένων
αἰῶνι τῷ μέλλοντι κἀν τῷ νῦν χρόνῳ
ζωὴν μακροχρόνιον, εὔθυμον βίον
Ἰωάννῃ τῷ τῆνδε...

Τὰ δὲ λοιπὰ τῆς ἐπιγραφῆς ἀμυδρά.

Ἐν τῷ πρώτῳ παραφύλλῳ τῷ συνεσταχωμένῳ τῷ ξύλῳ τοῦ περικαλύμματος· Τῇ κ' Μαρτήου ἰνδ. ζ' ,ϛωζε' ἐκυμιθι υ μητερα μου ονομαν της Μαρια μετανομαζομενη το καλογερικον της Μαρθα μοναχη. Ἐν δὲ φ. 460 β τη γ' του Νοεβρηου εγενιθη Ιωαννης ο υος μου του Χρισωστομου τε μνημη ινδ. θ' ϛωζδ'...δουλον σου τον Σπανοπουλον.

Ἴδε ἀπεικάσματα τριῶν τῶν εἰκόνων παρὰ Brockhaus Die Kunst in den Athosklöstern. Ἐν Λειψίᾳ. 1891. Πίν. 22—24.

*4126. 6. Περγ. 8. XIII. σελ. 2. (φ. 269).

Εὐαγγέλιον.

Μετὰ φωνῶν ἐρυθρῶν.

Εκατέρα τῶν σελίδων ἔχει πλάτος 0,04 καὶ μῆκος 0,14, περιέχει δὲ στίχους δέκα.

Τἀρχικὰ γράμματα διάκοσμα ἢ χρυσᾶ, αἱ δ' ἐπιγραφαὶ χρυσαῖ ὡς καὶ ὁ ἐν ἀρχῇ Πίναξ τῶν εὐαγγελίων. Κοσμεῖται δὲ ὁ κῶδιξ ὑπὸ ἐντέχνων εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν.

Ἐν φ. 1 β μείναντι τὸ πρῶτον ἀγράφῳ ἐγράφη κατόπιν τὸ Ὁμολογητικὸν ἔγγραφον τόδε·

σιγν/κλ | λ τȣ/δᾶ Ἔγο Λέων ὁ Κληδας ὁ τον τιμιον καὶ ζωοπηὸν σταυρῶν μου ηκηα μου χηρὶ ἐνχαράξας πρῶ σὲ Νηκηφόρον τὸν Μανηλόπουλον εὔτασα γὰρ κατὰ τὸν πέρσι καιρὸν τῆς εὐδόμις ἰνδικτιῶνος καὶ ἀφηλάμην ἀπὸ τοῦ βλήσιδίου τοῦ βλατίου ὑπέρπυρα τρία κενούργηα ἦνα ἐπειδόσο ἐν τι Τραπεζουντι παλεὰ τρια καὶ οὐκ ἔφθασα ταῦτα ἐκπληροσε καὶ πολα βιάστεῖς ἀπὸ σοῦ του Νίκηφόρου σινεφόνησα ὁπηνήκα καταλάβης ἀπὸ τῆς Χατζαρήας να σὲ ἐπηδίδο νομισματα ὑπέρπυρον παλεὸν τεσάρον ἄλας καθῶς ἡμέρα ἔχει· ἐπη τούτο γὰρ καὶ τὸ παρὸν ὁμολογητικόν μου ἔγραφον πεπίηκα πρῶ σὲ ἧς ἀσφάληαν μηνὶ Μαήῳ ἰνδικτιῶνος η' Λέων ἐϛὲ (;) ἀναγνώστης ... χαρτουλλάριος τῆς ἁγιωτάτης μητροπόλεως Τραπεζούντος.

4127. 7. Περγ. 4. XII. (φ. 214).

Εὐαγγέλιον.

Μετὰ φωνῶν ἐρυθρῶν. Κῶδιξ ἀκέφαλος καὶ κολοβός.

Ἐν τέλει· α'. Μηνολόγιον τῶν εὐαγγελίων.—β' (φ. 207 α). "Ἰάκωβος γενόμενος ἐπίσκοπος πρῶτος Ἱεροσολύμων ὑπὸ τῶν Ἀποστόλων, ἀδελφὸς μὲν τοῦ Κυρίου κατὰ σάρκα ἐλέγετο εἶναι..." —γ' (φ. 208 α). "Ὅτι οὐ διαφωνοῦσιν οἱ δ' Εὐαγγελισταὶ περὶ τὴν τοῦ Χριστοῦ ἀνάστασιν."—δ' (φ. 211 α). "Ὅτι δι' ἀμφοτέρων μετὰ τὴν ἀνάστασιν ὤφθη τοῖς μαθηταῖς ὁ Χριστός." —ε' (φ. 211 α). "**Εὐσέβιος** Καρπιανῷ ἀγαπιτῷ ἀδελφῷ ἐν Κυρίῳ χαίρειν."—ϛ' (φ. 212 β). **Κοσμᾶ Ἰνδικοπλεύστου** Περὶ Ματθαίου.—ζ' (φ. 214 β). **Τοῦ αὐτοῦ** Περὶ Μάρκου.

4128. 8. Περγ. 4. XIII. (φ. 164).

Συλλογὴ κανόνων πατέρων καὶ συνόδων.

Κῶδιξ ἀκέφαλος καὶ κολοβός.

*4129. 9. Περγ. 8. XIII. (φ. 232).

Τετραευάγγελον.

Ἐν τέλει· "Ἐκλογάδιον τῶν τεσσάρων Εὐαγγελιστῶν διά τε τῆς ἀρχῆς καὶ τοῦ τέλους τὴν περικοπὴν ἑκάστου Εὐαγγελίου ἀκριβῶς διαγορεῦον."

Κοσμεῖται ὑπὸ ἀτέχνων εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν.

*4130. 10. Περγ. XII.

Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

Εἰλητάριον μήκους μ. 5,00, πλάτους 0,24, πλάτους ἐν τῷ γεγραμμένῳ μέρει 0,10.

Κοσμεῖται ὑπὸ ἐπιγραφῶν χρυσῶν καὶ ὡραιοτάτων ἀρχικῶν γραμμάτων διακόσμων, ὧν τιν' ἀποκεκομμένα βεβήλως.

4131. 11. Περγ. XI.

Ἀκολουθία τῆς Μεταλήψεως.

Εἰλητάριον μήκους μ. 4,78, πλάτους 0,18, πλάτους ἐν τῷ γεγραμμένῳ μέρει 0,09.

4132. 12. Περγ. XI.

Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

Εἰλητάριον μήκους μ. 4,70, πλάτους 0,21, πλάτους ἐν τῳ γεγραμμένῳ μέρει 0,095.

*4133. 13. Περγ. XI.

Ἀκολουθία τῆς Μεταλήψεως.

Ἐν τέλει· Ἀφιέροσα αὐτὸ ἐγὼ Κυπριανὸς ἱερομόναχος εἰς τὸ καθολικὸν εἰς τὸ ἅγιον βῆμα 1706 Ὀκτωβρίου 1η, ἐμοῦ δὲ πατρὶς Σιάτιστα.

Εἰλητάριον μήκους μ. 5,00, πλάτους 0,135, πλάτους ἐν τῷ γεγραμμένῳ μέρει 0,07.

Κοσμεῖται ὑπὸ κομψῶν ἀρχικῶν γραμμάτων.

4134. 14. Περγ. XIV.

Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

Σῴζεται μόνον μέρος.

Εἰλητάριον μήκους μ. 1,18, πλάτους 0,21, πλάτους ἐν τῷ γεγραμμένῳ μέρει 0,12.

4135. 15. Περγ. 4. XI. (φ. 519).

1. Ἰησοῦς τοῦ Ναυῆ.
2. Βασιλειῶν Δ'.

Μετὰ Σειρᾶς ἑρμηνευτικῶν σχολίων.

4136. 16. Περγ. φύλλ. XI. σελ. 2. (σ. 585).

Βίοι καὶ μαρτύρια ἁγίων.

Ἀπὸ Μαΐου η' μέχρις Αὐγούστου κθ' κατ' ἐκλογήν. **Εἰσὶ** δ' ἐν ὅλῳ δώδεκα.

Ἐν σ. 585 διὰ γραμμάτων τοῦ μεγαλογραμμάτου ῥυθμοῦ· Ἐτελειώθη ἡ ἱερὰ καὶ ψυχωφελὴς αὕτη βίβλος, ἀγῶνας περιέχουσα καὶ ἄθλους μαρτυρικοὺς τὲ καὶ ἀσκητικοὺς συγγραφέντας παρὰ **Συμεὼν** *τοῦ ἐν μακαρίᾳ τῇ λήξει, γεγονότος μαγίστρου καὶ* **λογοθέτου** *τοῦ δρόμου. Ἐγράφη δὲ παρὰ Νικήτα τοῦ πανευφήμου καὶ περιβλέπτου πατρικίου καὶ ἐπὶ τοῦ θεοφυλάκτου κοιτῶνος καὶ ἀνθρώπου τῶν κραταιῶν καὶ θεοστέπτων καὶ ὀρθοδόξων ἡμῶν βασιλέων Μιχαὴλ τοῦ φιλοχρίστου δεσπότου καὶ Ζωῆς τῆς εὐσεβεστάτης καὶ πορφυρογεννήτου δεσποίνης ἐν πόθῳ πολλῷ καὶ ἐφέσει πνευματικῇ γεγραφότος ταύτην τὴν δέλτον ἐν πατρὶ παντοκράτορι, υἱῷ τε συνανάρχῳ καὶ πνεύματι ἁγίῳ, πέρας λαβοῦσα μηνὶ Φευρουαρίῳ εἰς τὰς ιδ΄ ἰνδικτιῶνος ι΄, ἔτους χρονικοῦ τοῦ κόσμου συστάσεως ,ϛφν΄* (=1042).

4137. 17. Περγ. φύλλ. XII. σελ. 2. (φ. 278).

Σειρὰ πατέρων εἰς τὸ Ψαλτήριον.

Ἐν τέλει Ἑρμηνεία Ὠδῶν τινων τοῦ Μωϋσέως καὶ Προφητῶν.

Κῶδιξ ἀκέφαλος καὶ κολοβός. Τὰ φ. 2—3 ἄγραφος χάρτης. Τὰ φ. 4—14, 16, 17 καὶ 22—25 νεώτερα (Χαρτ. XVI) πρὸς ἀναπλήρωσιν τῶν παλαιῶν φύλλων ἐκπεσόντων.

4138. 18. Περγ. 4. XI. σελ. 2. (φ. 98).

Θεοφυλάκτου Βουλγαρίας Εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον.

Ἀκέφαλος καὶ κολοβός. Πρῶτον σῴζεται τὸ πρῶτον φύλλον τοῦ τετραδίου Λ΄. Ἄρχ.... ἵνα μὴ ἀκούσας νομίσῃς ὅτι κατέβη ὡς καταβάς· οὐκ ἔστιν λοιπὸν ἐν οὐρανῷ φησιν (Ἰωάνν. γ΄ 21). *Ἐν τέλει λείπει ἓν μόνον φύλλον.*

4139. 19. Περγ. 4. XI. (φ. 246).

Σειρὰ πατέρων εἰς τὸ κατὰ **Ματθαῖον καὶ Ἰωάννην** εὐαγγέλιον.

Ἐν ἀρχῇ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου χειρὶ νεωτέρᾳ· **Κυρίλλου Ἀλεξανδρείας** *πατριάρχου ἐστιν ἡ ἑρμηνεία αὕτη.*

Κῶδιξ ἀκέφαλος καὶ κολοβός.

4140. 20. Περγ. 4. XIII. (φ. 164).

Εὐαγγέλιον.

Κῶδιξ ἀκέφαλος καὶ κολοβός.

*4141. 21. Περγ. 4. XIII.

Τετραευάγγελον.

Προηγοῦνται ἐν ἁπλοῖς ἐρυθροῖς ἁψιδωτοῖς κοσμήμασιν ἐντὸς στύλων οἱ Κανόνες τῆς τῶν Εὐαγγελιστῶν συμφωνίας κατ' **Εὐσέβιον.** *Ἐν τέλει Ἐκλογάδιον τῶν τεσσάρων εὐαγγελίων.*

Ἐν ἀρχῇ τοῦ πρώτου Εὐαγγελίου κομψὸν ἐπίτιτλον κόσμημα.

4142. 22. Περγ. 4. XII. (φ. 313).

Ψαλτήριον.

Προηγοῦνται· α΄. **Ἰωάννου τοῦ Χρυσοστόμου** *Ὑπόμνημα εἰς τοὺς Ψαλμούς.—β΄.* **Εὐσεβίου Παμφίλου** *Ὑπόθεσις εἰς τοὺς Ψαλμοὺς καὶ τὸ Διάψαλμα.*

4143. 23. Περγ. 4. XIII. σελ. 2. (φ. 186).

Εὐαγγέλιον.

Ἐν τέλει· Ἐτελειώθη τὸ παρὸν ἅγιον Ἐβαγγέλιον διὰ χειρὸς Κωνσταντίνου ἀναγνώστου τοῦ...(τὸ ἐπίθετον διεξεσμένον)...μηνὶ Αὐγούστῳ α΄ ἰνδ. η΄, ἔτους ,ϛψιγ΄ (=1205).

*4144. 24. Περγ. 4. XIV. (φ. 361).

Πραξαπόστολος.

Γέγραπται δι' ὀγκωδῶν γραμμάτων τοῦ μικροῦ ῥυθμοῦ. Κοσμεῖται δὲ ὑπὸ μιᾶς ἐν ἀρχῇ ἐπιτίτλου εἰκόνος, ἐφθαρμένης, καὶ 19 ἄλλων μικρῶν εἰκόνων Ἀποστόλων καὶ ἁγίων. Μία δὲ ἄλλη ἐξέλιπεν ἀποψαλιδισθεῖσα.

*4145. 25. Περγ. 4. X. (φ. 319).

1. Πραξαπόστολος.
2. **Ἰωάννου τοῦ Θεολόγου** Ἀποκάλυψις.

Ἐν ἀρχῇ ἐπίτιτλον κόσμημα.

4146. 26. Περγ. φύλλ. XI. σελ. 2. (φ. 232).

1. **Σωφρονίου Ἱεροσολύμων** Λόγος ἀνεπίγραφος.

Ἄρχ. (ἀκέφ)...τοῦ νόμου τὴν διατύπωσιν διὰ τὸν μέλλοντα μόνον ἐκ παρθένου γεννᾶσθαι οὖσαν. Τέλ. ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρὸς, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων ἀμήν.

2. Τοῦ **αὐτοῦ** Εἰς τὴν Ὑπαπαντήν.
3. Τοῦ **αὐτοῦ** "Εἰς τὴν ἀπάντησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."
4. **Ἀμφιλοχίου Ἰκονίου** Εἰς τὴν Ὑπαπαντήν.
5. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν Φαρισαῖον.
6. "**Βασιλείου ἐπισκόπου Σελευκείας** *τῆς Ἰσαυρίας Εἰς τὸν Φαρισαῖον καὶ τὸν τελώνην."*
7. "**Ἀστερίου ἐπισκόπου Ἀμασείας** *Λόγος εἰς τὸ Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν τοῦ προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης."*
8. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν ἄσωτον.
9. **Ἀστερίου Ἀμασείας** Εἰς τοὺς δύο υἱοὺς τοὺς παρὰ τῷ Λουκᾷ.
10. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν ἄσωτον λόγος ια΄.
11. Τοῦ **αὐτοῦ** Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσαλονικεῖς α΄ ἐπιστολῆς.
12. Τοῦ **αὐτοῦ** Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσαλονικεῖς β΄ ἐπιστολῆς.
13. Τοῦ **αὐτοῦ** Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς.

Ἄρχ. Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν ἀδελφοί.

14. **Γρηγορίου Νύσσης** Περὶ τῶν ἐν πίστει κεκοιμημένων.
15. **Ἀνδρέου Κρήτης** Εἰς τὸν ἀνθρώπινον βίον.
16. **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Περὶ τῶν ἐν πίστει κεκοιμημένων.

17. **Ἰωάννου τοῦ Χρυσοστόμου**

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας ἐπιστολῆς εἰς τὸ ῥητὸν Οἱ μὴ εἰδότες τὸν Θεόν.

18. **Τοῦ αὐτοῦ** Ὅτι ἀτελεύτητος ἡ κόλασις.

19. **Κυρίλλου Ἱεροσολύμων** Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας.

20. **Γρηγορίου Νύσσης** Εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου *Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων.*

21. **Ἱππολύτου Πόρτου** Περὶ συντελείας τοῦ κόσμου καὶ περὶ τοῦ Ἀντιχρίστου.

22. **Γρηγορίου Νύσσης** Εἰς τὴν παρείσβασιν τῶν ἁγίων νηστειῶν.

23. **Βασιλείου τοῦ μεγάλου** Περὶ νηστείας Λόγος α' καὶ β'.

24. "**Ἀναστασίου μοναχοῦ τοῦ Σινᾶ ὄρους**

Ὁμιλία ῥηθεῖσα εἰς τὸν ζ' Ψαλμὸν καὶ περὶ μετανοίας."

25. **Νεκταρίου Κωνσταντινουπόλεως.**

"Διήγησις δι' ἣν αἰτίαν τῷ πρώτῳ Σαββάτῳ τῶν ἁγίων νηστειῶν ἑορτάζομεν τὴν μνήμην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου καὶ περὶ ἐλεημοσύνης."

26. **Βασιλείου τοῦ μεγάλου** Ὁμιλία προτρεπτικὴ εἰς τὸ βάπτισμα.

27. **Νεκταρίου Κωνσταντινουπόλεως**

Διήγησις..., ἡ αὐτὴ καὶ ὑπ' ἀρ. 25.

28. **Ἰωάννου τοῦ Χρυσοστόμου** Περὶ μετανοίας.

Ὁ λόγος οὗτος κολοβός.

Ἐν τοῖς πρώτοις φύλλοις τοῦ κώδικος ἡ πρὸς τὰ ἔξω κάτω ἄκρα ἐφθάρη καὶ ἐξέλιπεν ὑφ' ὑγρασίας.

*4147. 27. Περγ. φύλλ. XI. σελ. 2. (φ. 438).

Γρηγορίου τοῦ Θεολόγου Λόγοι.

Προηγοῦνται δύο φύλλα, περιέχοντα ἐντὸς ἀψιδωτῶν κοσμημάτων Πίνακα τῶν λόγων καὶ Ἐπιγράμματα εἰς τὴν βίβλον. Ἐν τέλει βίος τοῦ Γρηγορίου καί τινα Σχόλια, Ἐξήγησις ἱστοριῶν τῶν ἐν τῷ πρώτῳ Στηλιτευτικῷ καὶ Ἱστορία τοῦ δευτέρου Στηλιτευτικοῦ. Τοῦ ὅλου κώδικος προτάσσονται 82 φύλλα (Χαρτ. XVI. σελ. 2) περιέχοντα Λόγους του αὐτοῦ **Γρηγορίου τοῦ Θεολόγου.**

Ἐν ἀρχῇ ἑκάστου λόγου κομψὰ ἐπίτιτλα καὶ ἀρχικὰ γράμματα διάκοσμα.

4148. 28. Περγ. 8. XIII. (φ. 268).

1. **Ἀποστόλων** Ἐπιστολαί.
2. Εὐαγγέλιον.
3. **Ἐπιφανίου Κύπρου** "Μαρτυρίαι *τῶν θεοπνεύστων Γραφῶν περὶ τῆς ἐξ οὐρανοῦ ἐπὶ γῆς τοῦ μονογενοῦς Θεοῦ λόγου παρουσίας."*
4. **Κυρίλλου Ἀλεξανδρείας** "Τὰ ἐμφερόμενα *ἐν ταῖς θείαις Γραφαῖς περὶ σταθμῶν καὶ μέτρων."*
5. Τὰ ὀνόματα τῶν προφητῶν.
6. Περὶ πίστεως.

4149. 29. Περγ. 8. XIII. (φ. 354).

1. Εὐαγγέλιον.
2. Πράξεις τῶν Ἀποστόλων.

Ἕπονται α'. "Συναξάριον σὺν Θεοῦ τοῦ ἐνιαυτοῦ προκειμένων ἀποστόλων ἀλληλουαρίων καὶ κοινωνικῶν."—β'. "Συναξάριον περιέχων τὰ ἀντίφωνα."

Ἐν τέλει· Τὸ παρὸν βιβλίον ἐγὼ Κύριλλος ἱερομόναχος τὸ πήρα εἰς τὴν ἁγίαν Μαύραν διὰ μίαν πρόθεσιν να το πάγω εἰς τὴν Παναγίαν τὴν Πορταΐτησαν εἰς το ἡμέτερον μοναστήριον ὕγουν τον Ἰβήρων, Ιουάνουαρίου 6 ἐν ἔτει 1672.

4150. 30. Περγ. 8. XII. (φ. 215).

Τετραευάγγελον.

Ἐν ἀρχῇ **Εὐσεβίου** *"Ὑπόθεσις κανόνων τῆς τῶν Εὐαγγελιστῶν συμφωνίας καὶ οἱ πίνακες τούτων τῶν κανόνων."*

Ἐν τέλει Ἐκλογάδιον.

Ἔστι δὲ τὸ Τετραευάγγελον ἐλλιπὲς περὶ τὸ μέσον.

4151. 31. Περγ. 8 μέγ. XIII. (φ. 260)

1. Εὐαγγέλιον.
2. Πράξεις τῶν Ἀποστόλων.
3. "Συναξάριον σὺν Θεῷ τῶν καθημερινῶν ἀποστόλων καὶ εὐαγγελίων τοῦ ὅλου χρόνου."

4152. 32. Περγ. 8 XIII. (φ. 280).

Εὐαγγέλιον (κολοβόν).

Προτάσσεται ἐν φύλλοις ἓξ χαρτῴοις "Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν."

4153. 33. Περγ. 8. XIII. (φ. 273).

Τετραευάγγελον.

Ἕπονται Πίνακες πρὸς εὕρεσιν τῶν εὐαγγελίων (κολ.).

Ἐν τέλει· Ἐγράφη χεὶρ Ὑακίνθου ἁμαρτωλοῦ καὶ χωρικωγράφου...(*ἄνευ χρονολογίας*).

4154. 34. Περγ. 8. XIV. (φ. 157).

1. **Ἀνδρέου Καισαρείας** Ἑρμηνεία εἰς τὴν Ἀποκάλυψιν.
2. **Ἰωάννου τοῦ Χρυσοστόμου**

"Πρός τινα ἡγούμενον αἰτήσαντα παρ' αὐτοῦ πεμφθῆναι αὐτῷ κανόνα πνευματικῆς διδασκαλίας."

Ἐν τέλει Σημείωσις περὶ τοῦ βιβλιογράφου ἀμυδρά, ἧς διακρίνεται μόνον τὸ ἔτος ͵ςωκδ' (=1316).

Ἐν ἀρχῇ καὶ τέλει ἀνὰ ἓν φύλλον (Περγ.) ἄλλου κώδικος ὕλης λειτουργικῆς.

*4155. 35. Περγ. 8. XIV. σελ. 2. (φ. 145).

Εὐαγγέλιον (κολοβόν).

Ἀρχικὰ γράμματα διάκοσμα ἀνάξια λόγου.

4156. 36. Περγ. 8. XIII. σελ. 2. (φ. 209).

Εὐαγγέλιον.

Ἐν τέλει· Ἐτελιώθη τὸ ἅγιον εὐαγγέλιον δι' ἐξόδου καὶ συνδρομῆς...(*ὄνομα ἀμυδρὸν*) ἱερέως, υἱὸς δὲ Μιχαὴλ ἱερέως Μερκούρη...ὁ γραφεὺς Νικόλαος ἀναγνώστης ὁ Βραχωνᾶς (*ἄνευ χρονολογίας*).

4157. 37. Περγ. 8. XIII. (φ. 209).

Πραξαπόστολος.

Ἐν τέλει· "Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν...."

4158. 38. Περγ. 8. XIII. (φ. 256).

1. **Σειρὰ πατέρων** περὶ διαφόρων ἀντικειμένων ἐν κεφ. σλα'.

Ἐν τέλει· Ἐγράφη ἡ παροῦσα δέλτος τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κυρῷ Θεοδούλῳ ἐν τῷ ͵ςψη' ἔτει ἰνδικτιῶνος γ' (=1200).

2. "**Προκοπίου Χριστιανοῦ σοφιστοῦ**

Τῶν εἰς τὰς Παροιμίας Σολομῶντος Ἐξηγητικῶν ἐκλογῶν Ἐπιτομή."

*4159. 39. Περγ. 8. XIII. (φ. 262).

Ἀποστολοευάγγελον (κολοβόν).

Ἐν ἀρχῇ ἐπίτιτλον κόσμημα ἄξιον λόγου. Ἀρχικὰ γράμματα πεποικιλμένα, ὧν τινα ἔντεχνα.

4160. 40. Περγ. 4. XIII. (φ. 154).

Μηναῖον Μαΐου.

Ἐν τέλει δύο φύλλα (Περγ.) *ἄλλου κώδικος ὕλης ἐκκλησιαστικῆς.*

4161. 41. Περγ. 8. XIV. (φ. 191).

Ὀκτώηχος.

Τὰ τελευταῖα φύλλα χαρτῷα (XVI.) *πρὸς ἀναπλήρωσιν τῶν ἐκπεσόντων.*

4162. 42. Περγ. 4. XIV. σελ. 2. (φ. 177).

Τριῴδιον.

Τῶν τελευταίων φύλλων τινὰ χαρτῷα.

Ἐν τέλει· Ἀνεκαινίσθη ἡ θεία καὶ ἱερὰ βίβλος ἐξ ἐμοῦ ἁμαρτωλοῦ καὶ εὐτελοῦς Ἰωακεὶμ ἱερομονάχου τάχα καὶ πνευματικοῦ...ἔτους ͵ζλγ' ἰνδ. ιγ' ἐν μηνῇ Μαΐῳ κ'.

4163. 43. Περγ. 4. XIII. σελ. 2. (φ. 680).

Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὴν Ἑξαήμερον.

Ἀκέφαλος καὶ κολοβός. Σῴζονται μόνον αἱ Ὁμιλίαι ς'–κθ'.

4164. 44. Περγ. 4. XII. σελ. 2. (φ. 325).

Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι κθ'.

4165. 45. Περγ. φύλλ. XII. σελ. 2. (φ. 179).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον.

Ἀκέφαλος καὶ κολοβός. Ἄρχεται ἀπὸ Ὁμιλίας να' καὶ χωρεῖ μέχρις οθ', ἡ δὲ συνέχεια μέχρι καὶ τῆς ϟ' ἐνεγράφη εἰς φύλλα νεώτερα (Χαρτ. XVII).

4166. 46. Περγ. φύλλ. XI. σελ. 2. (φ. 304).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον.

Ὁμιλίαι με'—ϟ'. Ἐν τέλει· Ἐτελειώθη ἡ παροῦσα βίβλος μηνὶ Φεβρουαρίῳ ἰνδ. ε' ἔτει ͵ςφιε' (=1007) *γραφεῖσα χειρὶ Θεοφάνους ταπεινοῦ μοναχοῦ.*

4167. 47. Περγ. φύλλ. X. σελ. 2. (φ. 225).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον.

Ὁμιλίαι α'—με' (κολοβ.). *Ἐν φ. 1α· "Ἐκ τῶν Μαξίμου* [Μαργουνίου] *ἐπισκόπου Κυθήρων.*

4168. 48. Περγ. φύλλ. XI. σελ. 2. (φ. 299).

Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον.

Ὁμιλίαι να'—πβ' (κολοβ.). *Ἐν τέλει μετὰ τὴν πβ' ἀναμεμιγμένα φύλλα τινὰ ἐκ τῆς ξγ'.*

4169. 49. Περγ. φύλλ. XI. (φ. 251).

Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι λγ' (κολ.).

4170. 50. Περγ. 8 μέγ. XIII. (φ. 132).

Ἀκολουθία Ἀθανασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ νέου.

Τέλ. (κολ.)· *σὺ γὰρ ἀληθῶς σκύβαλα πάντα λελόγισαι· διὰ τοῦτο καὶ Χριστὸν ἐκέρδησας καὶ τούτῳ συμβασιλεύεις αἰώνια. Χριστοῦ γὰρ τὴν πτωχείαν ὁλοκλήρως...*

Ἐν φ. 1β Στίχοι "εἰς τὸν ἅγιον Ἀθανάσιον τὸν πατριάρχην" ἐννέα γράμμασι τοῦ μεγαλογραμμάτου ῥυθμοῦ.

Ἀρχ. Ἔρωτι τῷ σῷ καρδίαν τετρωμένος.

Τέλ. ὁ Βασίλειος ταῦτά σοι τῷ δεσπότῃ.

*4171. 51. Περγ. 8. XIV. (φ. 219).

Τετραευάγγελον.

Ἕπεται Ἐκλογάδιον τῶν τεσσάρων εὐαγγελίων.

Ἐν τέλει· Τὸ παρὸν ἅγιον τετραύγγελον ἤφερέ το ὁ ὁσιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικὸς παπὰ κῦρ Δαμασκηνὸς ὑπὸ τὸ ταξήδιον τῆς Κωνσταντινουπόλεως καὶ διὰ συνδρομῆς αὐτοῦ καὶ βοηθείας ἐδιωρθώθη καὶ ἐσταχώθη καὶ ἐκ το πρώτερον ἐκαλοπίσθη καὶ ἀφιερώθη ἐν τῇ θείᾳ καὶ βασιλικῇ μονῇ τοῦ Ἰβήρου ͵ζρλθ'.

Περὶ τὸ τέλος ἓξ φύλλα χάρτου πρὸς ἀναπλήρωσιν ἐκλιπόντων φύλλων περγαμηνῆς.

Κοσμεῖται ἐν ἀρχῇ ἑκάστου τῶν εὐαγγελίων ὑπὸ κομψῶν ἐπιτίτλων.

4172. 52. Περγ. 8. XII. XIII. (φ. 305).

1. Τετραευάγγελον.
2. Πραξαπόστολος.

Ἐν τέλει "Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν..." Ταύτης φύλλα τινὰ χαρτῷα.

4173. 53. Περγ. 8. XIII. (φ. 167).

Ψαλτήριον (ἀκέφαλον).

Ἐναλλὰξ κείμενον καὶ ἑρμηνεία.

†4174. 54. Περγ. 8. XIII. (φ. 191).

Τετραευάγγελον.

Ἐν τέλει· Εὔχου καὶ τῷ γράψαντι Θεοφυλάκτῳ ἱερομονάχῳ. Ἄσχετον δὲ πρὸς τὸν χρόνον καθ' ὃν ἐγράφη ὁ κῶδιξ ἐστι τὸ ἐν ἄλλῃ τινὶ σημειώσει ἀναφερόμενον ἔτος ͵ςψϟθ'.

Ἔστι δὲ ὁ κῶδιξ παλίμψηστος διὰ πάντων τῶν φύλλων πλὴν ὀλίγων (φ. 160—181). *Ἦν δ' ὁ ἀρχαῖος κῶδιξ γεγραμμένος τὸν* XI *αἰῶνα κατὰ δύο σελίδας, ὧν ἑκάστη εἶχε πλάτος* 0, 04 *καὶ μῆκος στίχων περὶ τοὺς εἴκοσι καὶ τρεῖς. Περιεῖχε δέ, καθ' ἃ ἐστι γνῶναι ἐκ τῶν ἐνιαχοῦ διακρινομένων λέξεων, βίους καὶ μαρτύρια ἁγίων, ἀλλ' ἔστιν ἡ παλαιὰ ἐκείνη γραφὴ λίαν ἐξίτηλος.*

*4175. 55. Περγ. 8. XIV. (φ. 227).

Τετραευάγγελον.

Κοσμεῖται ὑπὸ εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν μετρίας τέχνης, ἐν δὲ τῇ ἀρχῇ ἑκάστου εὐαγγελίου ὑπὸ κομψῶν τετραγωνικῶν ἐπιτίτλων.

*4176. 56. Περγ. 8. XI. (φ. 221).

Τετραευάγγελον.

Προηγοῦνται ἐν ἀψιδωτοῖς κοσμήμασιν οἱ Κανόνες τῆς ὁμοφωνίας τῶν Εὐαγγελιστῶν. Ἐν τέλει δὲ α'. Περὶ τῶν Ἀποστόλων τινά.—β'. **Εὐσεβίου** Καρπιανῷ Ἐπιστολή.—γ'. **Κοσμᾶ Ἰνδικοπλεύστου** Περὶ τῶν Ἀποστόλων (κολ.).

Κοσμεῖται ὑπὸ τῶν εἰκόνων τῶν Εὐαγγελιστῶν, ὧν λείπει ἐν ἀρχῇ ἡ τοῦ Ματθαίου, ἧς τὴν θέσιν ἐπέχει εἰκὼν τοῦ Ἐσταυρωμένου. Ἐν ἀρχῇ ἑκάστου τῶν εὐαγγελίων ἐπίτιτλον κόσμημα.

4177. 57. Περγ. 8. XIII. (φ. 181).

Πραξαπόστολος.

Τὸ περικάλυμμα τοῦ κώδικος ἀποτελεῖται ἐκ φύλλων (Περγ. XII. σελ. 2) περιεχόντων **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἑρμηνείαν εἰς ῥήσεις τῆς Γραφῆς.

4178. 58. Περγ. 8. XIII. (φ. 106).

1. **Παχωμίου** "Ἐκ τῶν Ἐντολῶν κεφάλαια ἐκλελεγμένα συντόμως."
2. Ψαλτήριον.
3. **Προφητῶν** Ὠδαί.
4. "Λόγος ἀσκητικὸς πάνυ ὠφέλιμος **τοῦ μεγάλου Βασιλείου.**"

Ἀρχ. Τὸ τελειότατον ἔργον τῆς ἀσκητικῆς πολιτείας.

5. **Μαξίμου τοῦ ὁμολογητοῦ** Κεφάλαια περὶ ἀγάπης.

Τέλ. (κολ.). καθάπερ καὶ ὁ αἰσθητὸς ὀφθαλμὸς πρὸς τοὺς ἀστέρας τοῦ ἡλίου ἀνατέλλοντος.

4179. 59. Περγ. 8. XII. (φ. 294).

Τετραευάγγελον.

Ἐν τέλει ἑκάστου τῶν εὐαγγελίων τὰ τοῦ **Κοσμᾶ Ἰνδικοπλεύστου.**

4180. 60. Περγ. 8. XIII.

Πραξαπόστολος.

Ἐν τέλει φύλλα (Χαρτ. XIV), ἐν οἷς "Ὑπόθεσις τῆς Ἰωάννου ἀποκαλύψεως" καὶ **Ἰωάννου τοῦ Θεολόγου** Ἀποκάλυψις.

*4181. 61. Περγ. 8. XIII. σελ. 2. (φ. 144).

Τετραευάγγελον.

Ἐν ἀρχῇ ἐντὸς ἀτέχνων ἀψιδωτῶν κοσμημάτων "Συναξάριον τῶν κανόνων." Ἐν τοῖς ἐπιτίτλοις ἑκάστου τῶν εὐαγγελίων μικραὶ ἄτεχνοι εἰκόνες τῶν Εὐαγγελιστῶν.

4182. 62. Περγ. 8. XIV. (φ. 221).

1. "**Νεοφύτου πρεσβυτέρου** μοναχοῦ καὶ ἐγκλείστου Ἑρμηνεία σὺν Θεῷ συνοπτικὴ περὶ τοῦ θείου Ψαλτῆρος Δαυΐδ." Λόγοι ι—ιβ'.
2. **Τοῦ αὐτοῦ** Λόγοι εἰς τὴν Ἑξαήμερον. ιγ'—λα' καὶ ἄλλοι.

4183. 63. Περγ. 8. XII. (φ. 230).

Τετραευάγγελον.

Ἐν τέλει "Συναξάριν τοῦ ἁγίου Εὐαγγελίου."

†4184. 64. Περγ. 8. XIII. (φ. 277).

Ψαλτήριον.

Κείμενον καὶ ἑρμηνεία ἐναλλάξ. Τοῦ κειμένου βραχὺ μέρος προτάσσεται ἑκάστοτε ἐρυθρόν, ἕπεται δὲ διὰ μέλανος γεγραμμένη βραχεῖα ἡ ἑρμηνεία. Ἀρχ. **Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν.** Ἡ μὲν προφητεία πληροῦται εἰς τὸν Ἰωσὴφ ὅτι οὐ συμπαρεγένετο τοῖς Ἰουδαίοις ἡνίκα τὰ τοῦ Χριστοῦ ἐβουλεύσαντο. **Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστιν καὶ ἐπὶ καθέδρᾳ λιμὸν οὐκ ἐκάθησεν.** Τὸ δὲ ἴδιον τοῦ λόγου μακαριοῖ πάντα ἄνθρωπον τὸν μὴ συνεδριάζοντα ἢ συνευδοκοῦντα τοῖς κακῶς συμβουλευομένοις ἢ ἀτάκτως περιπατῶσιν.

Ἔστι δ' ὁ κῶδιξ παλίμψηστος, συμπεπηγμένος ἐκ δύο παλαιοτέρων (α' φ. 1—248.—β' φ. 249—277), ἀμφοτέρων γεγραμμένων κατὰ δύο σελίδας τὸν X. αἰῶνα διὰ γραμμάτων τοῦ μικρογραμμάτου ῥυθμοῦ. Καὶ ὁ μὲν πρῶτος περιεῖχε Κανόνας εἰς τὴν Θεοτόκον, ὁ δὲ δεύτερος, καθ' ἃ φαίνεται, Τροπάρια. Πρβλ. ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ Περὶ τῶν παλιμψήστων κωδίκων τῶν ἁγιορειτικῶν βιβλιοθηκῶν. Ἀθήνησι. 1888. σ. 10.

4185. 65. Περγ. 8. XIII. (φ. 252).

Ὡρολόγιον.

Ὁ κῶδιξ, ἀκέφαλος ὢν καὶ κολοβός, περιλαμβάνει νῦν μόνον μέρος τοῦ Ὡρολογίου, τὰς Ὥρας καὶ τοὺς Ψαλμοὺς ἅπαντας μετά τινων εὐχῶν καὶ τροπαρίων.

4186. 66. Περγ. 8. XII. (φ. 187).

Τετραευάγγελον.

Ἐν τέλει Πίνακες πρὸς εὕρεσιν τῶν εὐαγγελίων.

4187. 67. Περγ. 8. XIII. (φ. 150).

Τετραευάγγελον.

Ἐν τέλει· Ἔτους ,ϛψοα' ἰνδ ϛ' (=1263).

Πολλὰ φύλλα ἐκπεσόντα ἐν τῷ μεταξὺ ἀνεπληρώθησαν ὑπὸ χαρτῴων.

*4188. 68. Περγ. 8 μικρ. XI. (φ. 237).

Τετραευάγγελον.

Κοσμεῖται ἐν ἀρχῇ ἑκάστου τῶν εὐαγγελίων ὑπὸ μικροῦ ἐπιτίτλου.

4189. 69. Περγ. 8 μικρ. XII. (φ. 295).

Τετραευάγγελον.

Κῶδιξ ἀκέφαλος καὶ κολοβός.

*4190. 70. Περγ. 8. XI. (φ. 291).

Ψαλτήριον.

Ἐν τοῖς πρώτοις φύλλοις διὰ χρυσῶν κεφαλαίων γραμμάτων σημειώσεις περὶ τοῦ κατὰ τοὺς διαφόρους μῆνας μεγέθους τῶν ἡμερῶν καὶ νυκτῶν καὶ ἡ τοῦ **Εὐσεβίου** "Ὑπόθεσις τῶν Ψαλμῶν."—φ. 6 β—8 α Περὶ τῆς τάξεως τῶν Ψαλμῶν.—Ἀρχ. Ἐν τῇ ἑβραϊκῇ βίβλῳ τῶν Ψαλμῶν ἄνευ τῆς τοῦ ἀριθμοῦ προσθήκης ἀνεγράφησαν οἱ πάντες. Τέλ. τὸ δ' αὐτὸ εὕροις γεγεννημένον καὶ ἐν τοῖς προφήταις.—φ. 8β. Κατάταξις Ψαλμῶν, ὁμοίως χρυσοῖς

γράμμασι γεγραμμένη.—φ. 9 β. "Τῆς βίβλου τῶν Ψαλμῶν ἡ διαίρεσις."—φ. 10 β. "Ὑπόθεσις τῶν Ὠδῶν."—φ. 11 β. "Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες...", ὁμοίως διὰ χρυσῶν γραμμάτων.—φ. 13 α—18 α. Πίνακες τῶν κύκλων ἡλίου καὶ σελήνης ἐντὸς κομψοτάτων διακόσμων κύκλων.

4191. 71. Περγ. 4. XIII. σελ. 2.
"Παραινέσεις ἁγίων πατέρων εἰς προκοπὴν τελειότητος."

Ἐν ἀρχῇ καὶ τέλει καὶ ἀναμὶξ μεταξὺ τῶν φύλλων τῆς περγαμηνῆς φύλλα (Χαρτ. XVII. σελ. 2) πρὸς ἀναπλήρωσιν ἐκπεσόντων.

*4192. 72. Περγ. 8 μικρ. XI.
Τετραευάγγελον.

Ἐν ἀρχῇ ἑκάστου τῶν εὐαγγελίων μικρὸν ἐπίτιτλον κόσμημα.

Ἐν τέλει συνεσταχωμένον μετὰ τοῦ ξύλου τοῦ περικαλύμματος φύλλον (Περγ. XI.) μείζονος σχήματος, περιέχον ὕλην ἐκκλησιαστικήν.

4193. 73. Περγ. 8 μικρ. XI.
Ἰωάννου τοῦ Χρυσοστόμου Ἑρμηνεία εἰς τοὺς Ψαλμούς.

Ἐν τῇ τελευταίᾳ σελίδι κύκλοι πρὸς εὕρεσιν τοῦ Πάσχα τῶν ἐτῶν ϛφν'—ϛφνε' (=1042—1047).

Ἡ γραφὴ πολὺ ὁμοία πρὸς τὴν τοῦ κώδικος τοῦ Νόννου ἐν τῷ Βρεττανικῷ μουσείῳ (Addit. 18, 231), οὗ πανομοιότυπον ἴδε παρὰ WATTENBACH et VON VELSEN Exempla codicum Graecorum Πίν. VII.

4194. 74. Περγ. 8 μικρ. XIII.
Ψαλτήριον (κολοβόν).

Περιέχονται πλὴν τῶν Ψαλμῶν Ὠδαί, Τροπάρια καὶ Εὐχαὶ λεγόμεναι εἰς τὰ καθίσματα τοῦ Ψαλτῆρος, Εὐχαὶ τῶν Ὡρῶν, Εὐχαὶ τῶν μεσωρίων.

Ἐν ἀρχῇ καὶ τέλει εὕρηται συνεσταχωμένον τῷ ξύλῳ τοῦ περικαλύμματος ἀνὰ ἓν φύλλον Περγ. γραφῆς ἰβηρικῆς.

*4195. 75. Περγ. 8 μικρ. XIII.
Τετραευάγγελον.

Κοσμεῖται ὑπὸ ἀτέχνων καὶ ἐφθαρμένων εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν, ὧν ἑκάστης τὸ μὲν μῆκος 0,098, τὸ δὲ πλάτος 0,075, οἷον τό τε μῆκος καὶ τὸ πλάτος τοῦ ὅλου κώδικος.

Ἐν ἀρχῇ καὶ τέλει ἀνὰ ἓν φύλλον (Περγ. IX. τοῦ μικρογραμμάτου ῥυθμοῦ) περιέχον Εἱρμοὺς καὶ Στιχηρὰ ἀναστάσιμα.

4196. 76. Περγ. 8. XIII. (φ. 221).
1 (φ. 1 α). Κυρίλλου Λεξικὸν ἀνεπίγραφον.

Ἀρχ. (ἀκέφ)...τίδας λέγει ἡ Γραφή· Ἀκηδία πάρεσις ψυχῆς νοὸς ἔκλυσις. Ἀκροβυστία τὸ κεκαλυμμένον. Ἀκούβητα στρωμναὶ μαλακαὶ εἰς ὕψος ἠρμέναι· αὗται δὲ τριφῆς καὶ βλακείας εἰσίν. Ἀκατάλληλον ἀνάρμοστον (Ἐν τῇ ᾤᾳ νεωτέροις πως γράμμασιν Ἀκατάληπτον· ἀνεξιχνίαστον. Ἀκατάληπτον λέγεται ὅταν ἐρευνηθὲν καὶ ζητηθὲν μὴ καταληφθῇ παρὰ τῶν αἰτούντων αὐτὸ οἷον ἀκατάληπτον...πέλαγος...ὁ καθιέντες......βάθος τὸ ...ἀδυνατοῦσιν). Ἀκαπήλευτον· ἄδολον καθαρὸν ἀραδιούργητον. Ἀκαθοσίωτον ἄνομον ἀκόσμητον ἀπόβλητον. Ἀκάτιον μικρὸν πλοῖον. Ἀκέραιον ἄκακον ὁλόκληρον. Ἄκος θεραπεία. Ἀκροθίνια αἱ ἀπαρχαὶ τῶν θινῶν τουτέστι τῶν σωρῶν λέγεται δὲ καταχρηστικῶς καὶ πᾶσα ἀπαρχή. Ἀκραιφνὲς καθαρὸν λαμπρὸν διαυγὲς τέλειον ὑψηλόν. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἄκρως φαίνειν. Ἀκράδαντον ἄσειστον καὶ γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κραδαίνω τὸ σείω. Ἀκούσια τἀφ' ἡμῶν γινόμενα τινὸς ἔξωθεν ἀναγκάζοντος. Ἀκίχητα μὴ καταλαμβανόμενα. Ἀκράαντον ἀπλήρωτον καὶ γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κραίνω τὸ τελειῶ. Τέλ. Τὸ ω μετὰ τοῦ χ. Ὠχρὸς ἦν αὐτοῦ ὁ χρὼς ἄωχρον ἦν αὐτοῦ τὸ σῶμα· ὁ χρὼς δέ σου ὠχρός ἐστι μικρόν. Ὦχροι ἐν τοῖς ὀσπρίοις χλωρὰ τινὰ εὑρίσκεται ἅπερ ἀπὸ τῆς χροιᾶς οὕτω λέγεται. Οὕτω Ἡρακλείδης. Ὤχετο ἐπορεύετο· ᾤχοντο ἐπορεύοντο. Ὠχυρομένοι· ὀχυρούμενος δὲ μικρόν. Ὤχωκα ἐκ τοῦ οἰχῶ· ᾠχόμεθα ἐπορεύθημεν. Ὠχημένος ἐκ τοῦ οἰχῶ. Τὸ ω μετὰ τοῦ ψ. Ὢψ ὁ ὀφθαλμὸς καὶ κλίνεται τοῦ ὠπός· ὢψ δὲ θηλυκὸν ἡ φωνή. Ὠψισμένον βραδέως γενόμενον· ὦψαν, εἶδον. Ὠψωνηκότες· ὀψονήσαντες δὲ μικρόν· ὠψίσθη ἐβράδυνεν. Λάβωρα τὰ στέφανα.

2 (φ. 179 β). "Στῖχεῖα τὰ κδ' ἤγουν ὁ ἀλφάβητος."

Ἀρχ. Ἄλφα τὸ στοιχεῖον παρὰ τὸ ἄλφω τὸ εὑρίσκω. Τὸ δὲ τέλος κολοβὸν ἐν τοῖς περὶ τοῦ ἰῶτα. Μεταξὺ τῶν φ. 179 καὶ 180 λείπουσί τινα φύλλα. Τὸ φ. 180 α ἀρχ. (ἀκέφ)...ἐν τῇ εἰκόνι ἡ εἰκονιζομένη τοῦ ἀρχετύπου ὑπόστασις προσκυνεῖται.

3 (φ. 182 β). "Ἐκ τῶν διατάξεων κεφάλεα."

Ἀρχ. Ὅτι ἡ ἐκκλησία ἔοικεν νηΐ· ὁ μὲν κυβερνίτης ἐστὶν ὁ Χριστὸς, ὁ δὲ προρεὺς ὁ ἐπίσκοπος, οἱ ναῦται οἱ πρεσβύτεροι, οἱ τυχάλκοι οἱ διάκονοι, οἱ ναυτολόγοι τὸ τῶν ἀναγνωστῶν καὶ ὑπηρετῶν τάγμα.

Ἐν φ. 183 α. "Περὶ καρποφορᾶς." Ὅτι οὐ δεῖ δέχεσθαι καρποφορὰν ἀπὸ μοιχῶν καὶ πόρνων.—"Περὶ ἀπαρχῶν δεκάτων." Ἀρχ. Ὅτι αὐτὸς Σίμων ὁ Καναναῖος διατασσόμενος παρὰ τοῦ λαοῦ ἀπαρχῆς πρὸσκομίζεσθαι τοῖς ἐπισκόποις.

4 (φ. 183 α). "Βασιλείου [τοῦ μεγάλου].
Παραγγελία πρὸς τοὺς ἱερεῖς."

Ἀρχ. Πρόσεχε σεαυτῷ ὦ πρεσβύτα· βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἵνα καλῶς αὐτὴν ἐκπληροῖς. Τέλ. ἀλλὰ πάντα μετὰ καταστάσεως τῆς πρεπούσης καταστέλλων πορεύου ἐν εἰρήνῃ.

5 (φ. 184 α). "Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ζ' συνόδων."

Ἀρχ. Ἡ πρώτη ἁγία καὶ οἰκουμενικὴ σύνοδος γέγονεν ἐν Νικαίᾳ.

6 (φ. 185 α). "Τάξις καὶ πρωτοκαθεδρία τῶν ὁσιωτάτων πατριαρχῶν."

7 (φ. 185 α). "Ὅροι ἐπιτιμίων."

Ἀρχ. Τοῦ μεγάλου Βασιλείου. Τοῦ γογγυστοῦ τῷ ἔργον μὴ καταμιγνύσθω τῇ τῶν λοιπῶν ἀδελφῶν ἐργασίᾳ.

8 (φ. 185 α). Περὶ πτώσεων ἐρωτήσεις καὶ ἀποκρίσεις.

9 (φ. 185 β). "Ἐκ τοῦ Χρυσοστόμου.
Εἰς τὸ ἔνδιμα τοῦ ἀρχιερέως τῆς παλαιᾶς."

Ἀρχ. Ἐνεδιδύσκετο δὲ ὁ ἀρχιερεὺς κατὰ τὸ παλαιόν.

10 (φ. 185 β). "Τῆς ψυχῆς μέρη τρία."

11 (φ. 185 β). "Τοῦ μεγάλου **Βασιλείου**."

Ἀρχ. Χρὴ τοίνυν τὸν ἱερέα ἐπιμελεῖσθαι βίου καθαροῦ.

12 (φ. 185 β). "Περὶ τῶν ἑπτὰ τῆς κακίας πνευμάτων."

13 (φ. 186 α). "Ερώτησις. Τί ἐστὶ σέβας καὶ τι ἐστὶ λατρία. Λύσις. Σέβας ἐστὶν ἡ μετὰ τῆς φύσεως προσκύνησις."

14 (φ. 186 α). "Ἐκ τῶν ἐρωτήσεων τοῦ ἁγίου **Βαρσανουφίου**."

15 (φ. 186 α). "Ἀπόκρισις πρὸς τοὺς ἐρωτῶντας ὑμεῖς οἱ Χριστιανοὶ τί πιστεύεται καὶ πῶς ἕνα Θεὸν λέγετε καὶ πάλιν τρεῖς;"

Ἀρχ. Πιστεύω καὶ ὁμολογῶ ἕνα Θεὸν ἐν τρισίν. Τέλ. Καὶ πιστεύω καὶ δέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους καὶ τὰ δόγματα αὐτῶν καὶ τοὺς ὅρους αὐτῶν, οὐ μὴν ἀλλὰ καὶ τὰς ἄλλας ἑπτὰ μερικάς. Ἔτι δὲ καὶ τὴν ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου Κωνσταντινουπόλεως Μεθοδίου γενομένην ἐν ᾗ καὶ τὸ λεγόμενον συνοδικὸν ἐγράφη καὶ πάντα τὸν μὴ οὕτως πιστεύοντα ἀναθεματίζω καὶ ἀποβάλλομαι.

16 (φ. 187 α). "Αἱ ἑπτὰ οἰκουμενικαὶ σύνοδοι εἰσὶν αὗται."

Ἁπλῆ αὐτῶν ἀπαρίθμησις.

17 (φ. 187 α).

"Ἰδοὺ ἡ ἀρχὴ τῶν δὶς ὦ παῖ τεττάρων.
Δώσω δὲ πρὸς δαῦ σὺν Θεῷ τούτοις τέρμα."

Ἀρχ. Ἐρώτησις. Πόσα μέρη τοῦ λόγου; Ἀπόκρισις. Δεῖ σε γυνόσκειν ὅτι ὀκτώ εἰσι πάντα τὰ μέρη τοῦ λόγου. Τέλ. καὶ περὶ μὲν τῶν τοῦ λόγου μερῶν ἀρκεῖ σοι τοσαῦτα ὦ παῖ.

18 (φ. 188 α). "Ἀπορεῖαι καὶ λύσεις ἃς ἡρμήνευσεν ὁ ὑψηλόνους καὶ μέγας **Γρηγόριος ὁ Θεολόγος** κατὰ πεῦσιν καὶ ἀπόκρισιν."

Ἀρχ. Ἐρώτησις. Τί ἐστι Θεὸς καὶ κατα τί Θεός. Τέλ. Τί ἐστιν ἕνωσις; Ἀπόκρισις. Τὸ πλησιάζον καὶ μὴ φυρόμενον ὥσπερ καὶ τὸ ἔλαιον μετὰ τοῦ ὕδατος ἑνοῦται μὲν οὐ φύρεται δέ.

19 (φ. 190 α). "Διάφοραι ἐρωτήσεις περὶ τῆς ἀκραιφνοῦς ἡμῶν πίστεως."

Ἀρχ. Ἐρώτησις. Πόσα πρόσωπα προσκυνεῖς ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; Ἀπόκρισις. Ἓν πρόσωπον.

20 (φ. 190 α). "**Ἀθανασίου** τοῦ πάνυ Ἐκ τοῦ εἰς τοὺς κοιμηθέντας αὐτοῦ παναρμονίου λόγου."

21 (φ. 190 β). Περὶ τῶν κβ΄ βίβλων τῆς Παλαῖας Διαθήκης.

22 (φ. 191 α). "Ἡ Δεκάλογος ἣν ἐδέξατω Μωϋσῆς."

23 (φ. 191 β). "Ἐκ τοῦ **Σολομῶντος**."

Ἀρχ. Πάσῃ φυλακῇ τήρει σὴν καρδίαν. Τέλ. καὶ ὁδοὺς ἀνδρὸς ἐν νεότητι.

24 (φ. 192 α). "Ἐκ τοῦ Ἐκκλησιαστοῦ."

Ἀρχ. Ἐμεγάλυνα ποιήματά μου, ᾠκοδόμησά μοι οἴκους. Τέλ. τοῖς δὲ κραταιοῖς ἰσχυρὰ περιΐσταται ἔρευνα.

25 (φ. 193 α). "Ἐκ τοῦ **Σολομῶντος**."

Ἀρχ. Εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος. Τέλ. μία δὲ πάντων εἴsοδος εἰς τὸν βίον, ἔξοδός τε ἴση.

26 (φ. 193 α). "Ἆσμα ᾀσμάτων ὅ ἐστιν τῷ **Σαλωμῶν**."

27. (φ. 198 α). **Γρηγορίου τοῦ Θεολόγου**

"Ἐπίγραμμα εἰς τὸν τάφον τοῦ μεγάλου Βασιλείου."

Ἕπεται "Ἑρμηνεία τοῦ κυροῦ **Νικήτα τοῦ Παφλαγόνος**."

Τὸ κείμενον καὶ ἡ ἑρμηνεία ἐναλλὰξ κατὰ περιόδους.

28 (φ. 200 β). "Περὶ πίστεως."

Ἀρχ. Οἱ πιστεύειν καταξιωθέντες τὴν πίστιν τῆς μιᾶς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὀφείλουσιν ὁμολογεῖν οὕτως· Πιστεύω εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τριάδα ὁμοούσιον καὶ ἀχώρηστον, ἀδιαίρετον, ἀσύγχυτον καὶ ἀκατάληπτον. Τέλ. ἀλλὰ καὶ παρὰ τῆς φύσεως τῶν πραγμάτων ὅτι ἔστι μάταιος.

29 (φ. 202 α) "Περὶ δὲ τῆς ἐνσάρκου ὁμολογίας ὀφείλομεν ὁμολογεῖν οὕτως."

Ἀρχ. Πιστεύομεν καὶ ὁμολογοῦμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἕνα τῆς ἀδιαιρέτου καὶ ἀσυγχύτου Τριάδος. Τέλ. τῆς δὲ βασιλείας αὐτοῦ οὐκ ἔστι τέρμα καὶ τέλος ὥς φησι τῶν ἐπιθυμιῶν ἀνήρ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

30 (φ. 203 β). Ἐπιστολὴ ἀνεπίγραφος.

Ἀρχ. Μικροῦ τὸ τοῦ Ἰκάρου μυθικῷ τερατολογήματι περιέπεσον, ὦ ποθούμενε, τῷ ὑψηγόρῳ πτερῷ τῶν ἐπαίνων σου κουφισθείς. Τέλ. τῆς ἀδόλου φιλίας τὸ ἀντιμίσθωμα ἔγκαρπον ἀνθ' ὧν οὕτως ἔχεις περὶ ἡμᾶς.

31 (φ. 204 α). **Ἀθανασίου Ἀλεξανδρείας**

α΄ (φ. 204 α). Ἐκκλησιαστικὴ μυσταγωγία. Ἀρχ. Τί δέ ἐστιν ἐκκλησία; Ἐκκλησία ἐστὶν ναὸς Θεοῦ. Τέλ. ἐν τῷ Ἅδῃ φησὶν οὐκ ἔστιν ἐξομολόγησις οὐδὲ μετάνοια.—β΄ (φ. 216 β). "Λόγος περὶ σωτηρίας ψυχῆς." Ἀρχ. Τρία ἀπετεῖ ὁ Θεὸς παρὰ παντὸς Χριστιανοῦ.—γ΄ (φ. 219 α). "Περὶ πίστεως." Ἀρχ. Πιστεύσαντες καὶ βαπτισθέντες εἰς Τριάδα ὁμοούσιον.

32 (φ. 220 α). Λεξικὸν ὀρθογραφικόν.

Ἀρχ. (ἀκέφ.)...θεῶθεν ω μέγα, θιμωνία, θῦννος, θηρίον καὶ θησαυρὸς καὶ θηλάσαι καὶ θήλειαι, Θεόδοτος καὶ Θεοδόσιος. Τέλ. (κολ.) πολὺ τὸ πάνυ ἓν λ καὶ νῦ ψιλον· πωλῶ ἐπώλησα τὸ πω μεγάλα· πωλῶ δὲ τὸ ἀναστρέφομαι, πότος τὸ συμπόσιον πόμα.....[π]όσις τὸ καταπινόμενον...

4197. 77. Χαρτ. 8. XV. (φ. 223).

1 (φ. 1 α). **Κυρίλλου** Λεξικὸν ἀνεπίγραφον.

Ἀρχ. (ἀκεφ)...ἄφθογγος ἀφιλότιμος ὁ μηδὲ ἐπὶ τοῖς καλοῖς οἷς πράττει τιμᾶσθαι βουλόμενος· ἀφελὴς ὁ εὔκολος, σημαίνει καὶ τὸν ὑγιᾶ τὸ σῶμα. Ἀφλοισμὸς ψοφὸς ποιὸς ἢ ἀφρός. Ἀφρήτωρ ὁ μὴ συγγένειαν ἔχων... Τέλ. ὧψεν εἶδεν. Ὠψονηκότες ὀψονήσαντες δὲ μικρόν. Ὠψίσθη ἐβράδυνεν.

Ἴδ. καὶ 4196(76), 1.

2 (φ. 223 α). "Ἀρχὴ τῶν στοιχείων τοῦ ἀλφαβήτου."

Ἀρχ. Ἄλφα τὸ στοιχεῖον παρὰ τὸ ἄλφω τὸ εὑρίσκω.

Τέλ. (κολ.) Κάππα τὸ στοιχεῖον ὅτι Κάπυος ἔστιν εὕρεμα· κάππα τὸ ὂν τὸ ἔχον ὅπα ὅ ἐστι φωνήεντα....
Ἴδ. καὶ 4196 (76), 2.

4198. 78. Χαρτ. 8. XV. (φ. 194).

1 (φ. 3 α). Νομικὴ συλλογή.

Τίτλοι ιη′. α′ (φ. 3 α). "Τίτλος πρῶτος. Περὶ συναινέσεως καὶ μνηστείας." Ἀρχ. Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελεία τῶν μελλόντων γάμων.—β′ (φ. 4 α). "Τίτλος β′." Ἀρχ. Ὁ ἀρραβὼν φύσιν ἔχει τοιαύτην.—γ′ (φ. 6 α). "Τίτλος γ′. Περὶ δωρεῶν μνηστείας." Ἀρχ. Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούλεται τὸ ἐν τῇ συνηθείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ.—δ′ (φ. 7 α). "Τίτλος δ′. Περὶ διαθέσεως γάμων." Ἀρχ. Γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσις ζωῆς.—ε′ (φ. 9 α). "Τίτλος ε′. Περὶ ἀκριβείας γάμου." Ἀρχ. Τοῖς κληρικοῖς ἐπιτρέπεται νομίμους ἔχειν τὰς γυναῖκας.—...θ′ (φ. 39 β). "Τίτλος θ′. Περὶ πράσεως καὶ ἀγορασίας ἐγγράφου καὶ ἀγράφου καὶ ἀρραβώνων αὐτῶν." Ἀρχ. Ἔγγραφος καὶ ἄγραφος πράσις καὶ ἀγορασία....—ια′ (φ. 41 β). "Τίτλος ια′. Περὶ ἐμφυτεύσεων διηνεκῶν καὶ ἐμπεριγράφων." Ἀρχ. Διηνεκεῖς ἐμφυτεύσεις ἀκινήτων δικαίων γίνονται.—ιβ′ (φ. 42 β). "Τίτλος ιβ′. Περὶ μισθώσεων." Ἀρχ. Αἱ μισθώσεις ἔγγραφοί τε καὶ ἄγραφοι ἐπ' ὀνομαστῷ ἐνιαυσιαίῳ συμφωνουμένῳ τελέσματι καὶ αὗται γινέσθωσαν.—...ιϛ′ (φ. 44 β). "Τίτλος ιϛ′. Περὶ στρατιωτικὰ ἰδιόκτητα πράγματα καὶ καναστρησίων κέρδη (sic) αὐτῷ τυγχανόντων καὶ περὶ κληρικῶν καὶ χαρτουλαρίων καὶ ἑτέρων στρατευομένων." Ἀρχ. Στρατιωτικὰ πεκούλια εἰσὶν ἅπερ στρατιῶται ὑπεξούσιοι ὄντες πατρί τε καὶ πάππῳ ἐκ τοῦ στρατιωτικοῦ αὐτῶν πράγματος ἐπικτήσονται. Τέλ. οἱ τούτους ἔχοντες ὑπεξουσίους τὴν δεσποτείαν τῶν τοιούτων πραγμάτων φυλάττοντες αὐτοῖς.—ιζ′ (φ. 46 β). "Ποινάλιος τῶν ἐγκληματικῶν κεφαλέων." Ἀρχ. Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προsφεύγοντα βίᾳ ἀφαιρείσθω. Ταῦτα, περιλαμβάνοντα βραχέα κεφάλαια νγ′, θεωρητέον ἀποτελοῦντα τὸν τίτλον ιζ′.—ιη′ (φ. 51 α). "Τίτλος ιη′. Περὶ διαμερισμοῦ σκύλων." Ἀρχ. Τοὺς ἐξερχομένους εἰς ἐχθροὺς ἐπὶ πολέμῳ φυλάξαι δεῖ ἑαυτοὺς ἀπὸ παντὸς πονηροῦ. Τέλ. οὕτως ἔσται κατὰ τὸ γεγραμμένον καὶ ἡ μερὶς τὸν ἐν τοῖς πολέμοις ἀπερχόμενον.

Κατὰ ταῦτα φαίνεται περιεχομένη ἐν τῷ κώδικι ἰδιωτικὴ συλλογή, ἀποτελουμένη ἐκ τοῦ Προχείρου, εἰς ὃ ἀνήκουσιν οἱ ἀνωτέρω σημειωθέντες τίτλοι α′—ε′, καὶ τῆς Ἐκλογῆς τῶν Ἰσαύρων, ἐξ ἧς οἱ τίτλοι θ′, ιβ′κ. ἑ.

2 (φ. 51 β). "Περὶ στρατιωτικῶν ἐπιτιμίων."

Σημειοῦνται ἐπιγραφαὶ τεσσάρων καὶ δέκα κεφαλαίων.

3 (φ. 52 α). "Ἐκ τοῦ μθ′ βιβλίου τῶν Διγέστων [**Ἰουστινιανοῦ**] τύπος με′."

Σημειοῦνται ἐπιγραφαὶ ὀκτὼ καὶ τριάκοντα κεφαλαίων.

4 (φ 53 α). "Πανάλιος περὶ στρατιωτικῶν καὶ ἐπιτιμίων ἐκ τῶν **Ῥούφου** καὶ τακτικῶν."

Ἀρχ. α′. Οἵτινες τολμήσωσι συνομοσίαν ἢ φατρίαν ἢ στάσιν κατὰ τοῦ ἰδίου ἄρχοντος ποιῆσαι.

Κεφάλαια ἐν ὅλῳ πεντεκαίδεκα.

5 (φ. 54 β). Κεφάλαια ὀκτὼ καὶ τριάκοντα ἀνεπίγραφα.

Ἀρχ. Ἐάν τις ἐν πολέμῳ πρᾶγμα ἀπηγορευμένον αὐτὸ παρὰ τοῦ δουκὸς ποιήσῃ ἢ τὰ ἐνταλθέντα αὐτῷ παρ' αὐτοῦ μὴ πληρώσῃ κεφαλικῶς τιμωρεῖται εἰ καὶ καλῶς τὸ πρᾶγμα διοίκησεν.

6 (φ. 57 β). "Περὶ στρατιωτικῆς καταστάσεως. ἐκ τοῦ ξδ′ βιβλίου τοῦ Κώδικος" [**Ἰουστινιανοῦ**].

Ἕπονται "Τίτλος τοῦ μβ′ βιβλίου τοῦ Κώδικος," "Ποινάλιον κατὰ αἱρετικῶν καὶ Μανιχαίων," "Ἄλλο ἐκ τοῦ αὐτοῦ" καὶ ἄλλα "Ἐκ τοῦ αὐτοῦ."

7 (φ. 59 β). "Ἐκ τοῦ μθ′ βιβλίου τῷ Διγέστῳ κεφ. νη′...περὶ φονέων."

Καὶ ἄλλα βραχέα ἐκ τοῦ Διγέστου καὶ τῶν Νεαρῶν διατάξεων **Ἰουστινιανοῦ**.

8 (φ. 61 β). "**Διάταξις περὶ καινοτομίας Ζήνωνος βασιλέως.**"

Ἀρχ. Αὐτοκράτωρ Ῥωμαίων καίσαρ Ζήνων εὐσεβὴς νικητὴς τροπαιοῦχος ἀειμέγιστος ἀεισέβαστος αὔγουστος Ἀδαμαντίῳ ἐπάρχῳ πόλεως.

9 (φ. 64 α). "**Περὶ ἐγγυῶν καὶ ἀντιφωνήσεων τοῦ** ε′ τίτλου."

10 (φ. 66 α). "Περὶ ὑποβόλου."

Ἀρχ. Ἰστέον ὅτι τὸ μὲν παλαιὸν ἰσότης ἦν ὑποβόλου καὶ προικός. Τέλ. ἐν τοιούτῳ καιρῷ ἀνδρὶ εἰsελθεῖν, ἐν ἑτέρῳ δὲ οὐχί.

11 (φ. 67 β). "Περὶ τῶν ἑπτὰ μεθηλικιώσεων τοῦ ἀνθρώπου."

12 (φ. 68 α). "Νόμος γεωργικὸς κατ' ἐκλογὴν ἐκ τῶν **Ἰουστινιανοῦ** νόμων."

Κεφάλαια βραχέα ἐν ὅλῳ πε′. Ἀρχ. Χρὴ τὸν γεωργὸν τὸν ἐργαζόμενον τὸν ἴδιον ἀγρὸν εἶναι δίκαιον καὶ μὴ παρορίζειν αὔλακας τοῦ πλησίον αὐτοῦ.—...πε′. Ὁ βόσκων ἐν ἀλλοτρίᾳ γῇ θρέμματα ἀδίκως τῷ ἀκουιλίῳ ἤτοι τῷ διπλῷ ὑπόκειται.

13 (φ. 73 α). "Ἐκ τῶν ἐγκληματικῶν κεφάλαια."

Ἀρχ. Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προsφυγόντα ἀφαιρείσθω. Τέλ. ἀκολουθεῖν δεῖ τοῖς παραπλησίως ἔχουσι τῷ ζητουμένῳ πράγματι καὶ ὁμοίως ποιεῖν.

14 (φ. 73 β). "Τῆς σελήνης αἱ ἡμέραι εἰσὶν αὗται, αἱ μὲν φωτιστικαί, αἱ δὲ ἀφώτησται."

15 (φ. 74 α). "Τάξις γινομένη ἐπὶ τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν."

Μένει ἀτελὲς εὐθὺς ἐν ἀρχῇ ἐν ταῖς λέξεσιν Ὁ δεῖνα ἀπὸ Σαρακηνῶν προsελθὼν τῇ καθαρᾷ καὶ ἀμω...

16 (φ. 76 α). "Ἀρχὴ σὺν Θεῷ τοῦ Λεξικοῦ κατὰ ἀλφάβητον."

Ἀρχ. Πᾶσα λέξις ἀπὸ τῆς βε συλλαβῆς ἀρχομένης διὰ τοῦ ἔψιλοῦ γράφεται, οἷον βέβηλος ὁ ἀνόσιος καὶ ἀκάθαρτος, βεβριθῶς ὁ βαρῶν. Τέλ. (ἀτελὲς) θυΐσκη ἡ θυσία, θυμάτιον ὑποκοριστικῶς τὸ θῦμα. Θυμελὴ τὸ τῶν ὀργανικῶν σύστημα.

17 (φ. 98 α). Ἐκλογὴ γνωμῶν καὶ ἀποσπασμάτων.

Ἀρχ. Παῦλος καὶ Πέτρος Μακάριός τε καὶ Στέφανος δυσσεβῶς ἀπετόλμησαν εἰπεῖν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔχειν τὸν Κύριον. Ἕπονται Γνῶμαί τινες **Ἰωάννου του Δαμασκηνοῦ**, μεθ' ἃς "Τί ἐστιν ὅρος," "Τί υἱός,"

"Τί πνεῦμα," "Τί ἐστι Τριάς," "Τί ἐστιν ἀΐδιον" κτλ. Τέλ. "Τί δὲ Ἰησοῦς; Ἰησοῦς ἐκλήθη διὰ τὸ σωθῆναι τὸ γένος τῶν ἀνθρώπων." Ἕπονται τάδε (φ. 102 β) "Πίστις ἣν ὁ Θεολόγος καὶ ἀπόστολος Ἰωάννης ἐπὶ παρουσίᾳ τῆς Παναγίας Θεοτόκου κατ' ἐπιτροπὴν αὐτῆς τῷ ἁγίῳ καὶ θαυματουργῷ Γρηγορίῳ ἐν ὀπτασίᾳ ὑπηγὸς (γρ. ὑπηγόρευσε)." Ἀρχ. Εἷς Θεὸς πατὴρ λόγου ζῶντος σοφίας ὑφεστώσης καὶ δυνάμεως. Ἐπὶ τούτοις (φ. 103 β)· "Τοῦ **ἁγίου Κυρίλλου**" "Περὶ πίστεως" κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

18 (φ. 104 β). "Ἀρχὴ τοῦ Λεξικοῦ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Κυρίλλου** ἀρχιεπισκόπου **Ἱεροσολύμων**."

Ἡ ἐπιγραφὴ αὕτη γέγραπται χειρὶ νεωτέρᾳ.

Ἀρχ. Ἀφροσύνη διὰ τὸ τὸν νοῦν μὴ φροντίζειν. Ἀφύκτοις ἀλύτοις καὶ ἀσυγχωρήτοις. Ἄφραστον ἄρρητον. Τέλ. (ἀτελές) Ἐπέλαβεν ὑπερέλαβεν, ὑπεδέξατο. Φύλακας τοὺς τηροῦντας...

19 (φ. 110 β). "Λέξεις ἀποστολικαί.".

Ἀρχ. Ἀφορισμένος, ἐκλελεγμένος, διακριμένος. Ἀδιαλείπτως διηνεκῶς, πάντοτε.

20 (φ. 113 α). "Λέξεις τοῖς κανῶσι τῆς Χριστοῦ γεννήσεως καὶ τῶν ἁγίων Θεοφανίων καὶ τῆς Πεντηκοστῆς."

Ἀρχ. [Ἀ]φεγγεῖς μὴ ἔχων τοὺς φέγγους ἢ φῶς. Ἐπεγράφης ἠριθμήθης.

21 (φ. 118 α). "Τέλος σὺν Θεῷ μερικῶν λέξεων κατὰ ἀλφάβητον ὅπερ ἔνει τὸ καθὲν στοιχεῖον ποιηθεῖσα δὲ παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Κυρίλλου** πατριάρχου **Ἱεροσολύμων** ἅτινα εἰσὶν κδ' στοιχεῖα."

Περιλαμβάνονται δὲ α' (φ. 118 α). "Λέξεων μερικῶν ἐκ τοῦ ἁγίου Εὐαγγελίου τῶν τεσσάρων Εὐαγγελιστῶν." Ἀρχ. Ἀρχὴ τοῦ κατὰ Ματθαῖον. Βαραχία εὐλόγησε Κύριος. Βαριωνᾶ υἱὸς περιστερᾶς.—β' (φ. 119 β). "Λέξεις τῶν Πράξεων." Ἀρχ. Ἀτμίδα τὴν ἔθμην. Ἀσμένος προθύμως.—γ' (φ. 120 β'). "Λέξεις ἀκροστοιχείου τῆς Χριστοῦ γεννήσεως." Ἀρχ. Εὐηπίης μέλεσιν ἐφύμνια ταῦτα λιγκαίνω.—δ' (φ. 121β). "Λέξεις τοῦ Ψαλτηρίου." Ἀρχ. Ἀλληλούϊα· ἑτοιμολογεῖται ἑβραϊστὰ οὕτως ἀλ κραταιὸς ἠλ Θεὸς οὐϊα αὐτὸς μόνος.—ε' (φ. 124 β). "Λέξεις τῶν Ὠδῶν. Ὠδὴ α'."

22 (φ. 126 α). "Περὶ ἑτοιμολογίας."

Ἀρχ. Ἑτοιμολογία ἐστὶν ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ὀρθότης. Ἕπονται δὲ διάφοροι ἐτυμολογίαι λέξεων. Τέλ. Παρὰ τί βλέφαρον; παρὰ τὸ αἴρειν καὶ βλέπειν. Λύχνος παρὰ τὸ λύειν τὸ νύχος τουτέστι τὸ σκότος, ἀφ' οὗ ἡ νύξ.

23 (φ. 129 β). "Ἀμφιβολὴ αἱρετικοῦ πρὸς Χριστιανόν."

24 (φ. 134 α). "Ἀναγκαῖα ἐρωτήματα ἤσει **Σεκούνδου** προβλήματα ἃ ἐρωτήθη παρὰ Ἀδριανοῦ βασιλέως ἐν Κωνσταντινουπόλει."

Κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

25 (φ. 175 β). Ἐκλογὴ γνωμῶν ἐκ τῶν Γραφῶν καὶ τῶν **πατέρων**.

26 (φ. 179 β). **Γρηγορίου τοῦ Θεολόγου** "Προοίμιον ἐν σχήματι εὐχῆς, ἐν ᾧ καὶ διηγεῖται ἃ ἐν πᾶσι τῇ ζωῇ αὐτοῦ πεπείραται."

Ἀρχ. Θεὲ ἄναξ ὃς ἁγναῖς ποτ' ἀειρομέναις παλάμησιν.

27 (φ. 183 α). "**Πλάτωνος** Ὅσα σε δεῖ φοβεῖσθαι ἀποδείξω τέκνον ἐμόν."

Ἀρχ. Φοβοῦ ἄνδρας ἐν κρίσει, τοὺς ξιφηφόρους,
φοβοῦ δυνάστας καὶ βιαίους ἐν πόλει.
Τέλ. φοβοῦ ψευδηγορεῖν κἂν μισῇς τινά.
φοβοῦ ὠροσκοπῆσαι καὶ μαντικὰς ἐπαιοιδίας.

28 (φ. 183 β). "Κανὼν εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν ἐξ ἰάμβων πεντάστιχος **Ἰωάννου** μοναχοῦ **τοῦ Δαμασκηνοῦ**."

29 (φ. 187 β). "Ἕτερος κανὼν τῶν ἁγίων Θεοφανίων."

Τὰ ὑπ' ἀρ. 26, 28 καὶ 29 περιέχουσιν ἐναλλὰξ κείμενον καὶ ἑρμηνείαν.

Τὰ φ. 74 β—75 β καὶ 97 β ἄγραφα.

4199. 79. Χαρτ. 8. XV. (φ. 105).

1 (φ. 3 α). **Πινδάρου Ὀλυμπιονικῶν Β'.**

Ἀρχ. (ἀκέφ)...[πεπρ]αγμένων ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον.

2 (φ. 3 α). "**Ἀμμωνίου τοῦ Ἑρμείου.**"

Ἀρχ. Πᾶσα ἐπιστήμη καὶ τέχνη ὑποκείμενον ἔχει καὶ τέλος.

Ἕπονται ἀποσπάσματα **Πλάτωνος, Πυθαγόρου** καὶ ἄλλων.

3 (φ. 6 β). Σημείωμα Πασχάλιον.

Ἀρχ. Ψηφίσας ἀκριβῶς κατὰ τὸ ,ϛ ϡκε' ἔτος ἡλίου κύκλου ὄντος ι' καὶ σελήνης ι' καὶ ἰνδικτιῶνος ια' εὗρον μετὰ μα' χρόνον κύριον Πάσχα ἡλίου κύκλου ὄντος κγ' καὶ σελήνης ιγ'...

4 (φ. 7 α). "Ἐπὶ τῆς ἁγίας Τριάδος."

Ἀρχ. Πιστεύω εἰς ἕνα Θεὸν τρισυπόστατον πατέρα ἀγέννητον, υἱὸν γεννητόν.

5 (φ. 9 β). Παροιμίαι.

Ἀρχ. Γελῶν ἀκράτως δυσπόρους ἕξεις τρόπους. Γέλως Συρακούσιος ὁ ἄτακτος. Γελοιότερος Μελιτίδου· οὗτος διεβάλετο ἐπὶ μωρίᾳ.

6 (φ. 11 α). "**Ἀττικισμοὶ τῶν λογίων.**"

Ἀρχ. Ἀντὶ τοῦ εἰπεῖν μνημονεύω τοῦ δεῖνος, διὰ μνήμης ἔχω τὸν δεῖνα λέγουσιν. Τέλ. Ἀντὶ τοῦ εἰπεῖν ἐξερρίφη ἡ ναῦς ἐν ταῖς πέτραις προσώκειλεν ἡ ναῦς λέγουσιν.

7 (φ. 14). "...λογίων κῦρ **Γεωργίου τοῦ Λακαπηνοῦ.**"

Αἱ πρῶται λέξεις ἐξίτηλοι.

Ἀρχ. Ἀσχολία ἡ πολλὴ περί τι σπουδὴ καὶ συνεχὴς ἐπιμέλεια καὶ ἀσχολοῦμαι ῥῆμα καὶ ἄσχολος ὄνομα ἀρσενικῶς καὶ θηλυκῶς ἐκφερόμενον. Τέλ. (κολ.) ὅταν δὲ ἁπλῶς ἐπ' ἐνδοιασμῷ, λαμβάνεται ἀντὶ τοῦ ἐὰν μὴ ὑποτάσσων ὡς τὸ εἰ Περσεφόνην Πλούτων παρὰ Δήμητρος ἥρπασε, τίς τοῦτο οἶδεν ἄδηλον ἐστιν....

8 (φ. 27 α). Λεξικὸν "Τοῦ σοφωτάτου καὶ λογιωτάτου κῦρ **Ἰωάννου τοῦ Λακαπηνοῦ.**"

Ἀρχ. Γράφειν τὸ συγγράφειν λόγον ἢ ἄλλην τινὰ ἱστορίαν. Τέλ. Ὄφελον δὲ ἐπίρρημα ἀντὶ τοῦ εἴθε διὰ τοῦ ο μικροῦ ὃ καὶ συντάσσεται ἀεὶ μετὰ εὐκτικοῦ ἢ παρεληλυθότος χρόνου· λέγεται τοῦτο ἐνίοτε καὶ μετὰ τοῦ ὡς οἷον ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον.

Τὸ Λεξικὸν οὐκ ἔστιν ἀλφαβητικῶς τεταγμένον εὐθὺς ἐξ ἀρχῆς, ἀλλ' ἀπὸ μόνου τοῦ φ. 35 α. Μεταξὺ δὲ τῶν φ. 34 καὶ 35 ὑπάρχει χάσμα, πιθανῶς ἑνὸς μόνου φύλλου.

Ἐνταῦθα παρατίθενταί τινες ἐκ τούτου τοῦ Λεξικοῦ ἑρμηνεῖαι λέξεων σποράδην. Ἀπελάτης γὰρ ὁ μετὰ ξίφους ἀπελαύνων ἀγέλην ζῴων· ἀπὸ τοῦ ἀγέλη ἀγελαῖον ζῷον τὸ τῆς ἀγέλης καὶ ἀπὸ τούτου ἀγελαῖος ἄνθρωπος ὁ τοῦ πλήθους (φ. 35 α).—Θαλαττεύω τὸ ἐν θαλάττῃ διάγω ὥσπερ καὶ παρθενεύω τὸ ἐν παρθενίᾳ διάγω.—Θρέμματα πληθυντικῶς τὰ βοσκήματα.—Ἶπες οἱ τοῖς κέρασιν ἐμφυόμενοι σκώληκες· θρύπες οἱ ἐν τοῖς ξύλοις· κόες οἱ ἐν τοῖς πυροῖς καὶ κριθαῖς, ἴκες οἱ τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων ἐσθίοντες. Ἴουλοι οἱ περὶ τὰ τείχη ἐνέρποντες πολύποδες. Ἱππασία παρὰ τοῖς κοινοῖς, ἱππεία καὶ ἱπποσύνη παρὰ ποιηταῖς.—Σκευοφόροι λέγονται οἱ τὴν ἀποσκευὴν φέροντες· ἀποσκευὴ δέ ἐστιν ἡ κοινῶς λεγομένη κατοῦνα ἤτοι τὰ πρὸς ὁδὸν χρησιμεύοντα σκεύη. Σκευὴ δὲ τὸ ἔνδυμα.—Τραχηλίζειν λέγεται τὸ διχοτομεῖν ἤγουν τὸ διὰ τῆς ῥάχεως σχίζειν ὅθεν καὶ τὸ Τετραχηλισμένοι παραστησόμεθα τῷ κριτῇ τουτέστι φανεροὶ καὶ ἀνακεκαλυμμένοι.

9 (φ. 98 β). "Περὶ ἐπιρρημάτων ἀπόρων."

Ἀρχ. Οὐὰ παρὰ μόνῳ τῷ ἁγίῳ Εὐαγγελίῳ εὑρίσκεται καὶ ἔστιν ἐναντιωματικὸν ἐπίρρημα. Τέλ. Ἱνατί ἐρωτήσεως ὡς ἔχει τὸ διατί. Ἄγρι παρακελεύσεως ὡς ἄγε, φέρε.+Δηθὰ ἐπίρρημα χρονικόν.

10 (φ. 99 β). "Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως Περὶ τῶν πέντε διαλέκτων."

Ἀρχ. Διάλεκτός ἐστι γλώσσης ἰδίωμα· εἰσὶ δὲ διάλεκτοι ε', ἰὰς, ἀτθὶς, δωρὶς, αἰολὶς, κοινή· καὶ ἀτθὶς μὲν ἐκλήθη ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ θυγατρὸς, δωρὶς δὲ ἡ τῶν Δωριέων ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός.

11 (φ. 99 β). Περὶ διαλέκτων.

α' (φ. 99 β). "Περὶ ἀτθίδος." Ἀρχ. Ἀτθίς ἐστιν ἡ τῶν Ἀττικῶν. Τέλ. Τὰ διπρόσωπα τῶν παθητικῶν ὁριστικῶν ῥημάτων διὰ διφθόγγου ἐκφέρει οἷον τύπτομαι τύπτει γράφομαι γράφει.—β' (φ. 100 α). "Περὶ αἰολίδος." Ἀρχ. Αἰολίς ἐστιν ἡ τῶν Αἰολέων, ᾗ ἐχρήσατο Ἀλκαῖος. Τέλ. Τὸ γὰρ ἀγείρω ἀγέρρω λέγει καὶ τὸ ἐγείνατο ἐγέννατο καὶ τὸ ἐνείματο ἐνέμματο καὶ τὸ ὅπη ὅππη καὶ τὸ ὅτι ὅτη καὶ τὸ ὅσα ὅσσα.—γ' (φ. 100 α). "Περὶ δωρίδος." Ἀρχ. Δωρίς ἐστιν ἡ τῶν Δωριέων, ᾗ ἐχρήσατο Θεόκριτος. Τέλ. Αἱ ἐξαιρέσεις τοῦ δ' καὶ τοῦ τ' ἐκ τῶν εἰς τος ἢ εἰς δος ληγουσῶν γενικῶν τῶν Δωριέων εἰσὶν οἷον Πάριος, κέραος ἀντὶ τοῦ Πάριδος, κέρατος.—δ' (φ. 100 β). "Περὶ ἰάδος." Ἀρχ. Ἰάς ἐστιν ἡ τῶν Ἰώνων ἤγουν ἡ ἀσιανὴ ᾗ Ὅμηρος ἐχρήσατο. Τέλ. βάτην ἀπὸ τοῦ ἔβην. Ἱκέσθη ἀπὸ τοῦ...Ἵημι τὸ πέμπω καὶ κατὰ συγκοπὴν....Τὰ λοιπὰ ἀποτετριμμένα καὶ ἐξίτηλα.

Ἐν φ. 3α· Ἐκ τῶν Μαξίμου [Μαργουνίου] ἐπισκόπου Κυθήρων.

4200. 80. Χαρτ. 8. XV. (φ. 104).

1 (φ. 1 α). Σημειώσεις λεκτικαὶ καὶ γραμματικαὶ βραχεῖαι.

2 (φ. 3 α). "Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν Ἐρωτημάτων" [Μανουὴλ τοῦ Μοσχοπούλου].

3 (φ. 76 α). "Συμεὼν μαγίστρου Ἀντιοχείας τοῦ Σὴθ Πρὸς Κωνσταντῖνον τὸν Πορφυρογέννητον βασιλέα Περὶ δυνάμεως καὶ χρήσεως τῶν τροφῶν."

Διῄρηται εἰς κεφ. ρμ', ὧν α' "Περὶ ἄρτων," ρμ' "περὶ ὠτίδων." Ἀντὶ δὲ κεφ. ρμα' προστέθειται "Ἀλάτιον σκευασθὲν ὑπὸ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου."

Ἐν τέλει (φ. 102 α) ἐρυθροῖς γράμμασι· Μνήσθητι Κύριε τοῦ γράψαντος δούλου σου Γρηγορίου διακόνου καὶ μοναχοῦ ,ϛϡξ' ἰνδικτιῶνος ιε' (=1452).

4 (φ. 102 β). "Ἆσμα ᾀσμάτων ὅ ἐστι τῷ Σολομών."

Μένει κολοβὸν ἐν ταῖς λέξεσι· καλὴ εἶ πλησίον μου ὡς εὐδοκία, ὡραία ὡς Ἱερουσαλήμ· θάμβος ὡς τεταγμέναι (VI. 3).

Ὁ κῶδιξ γέγραπται διὰ γραμμάτων λεπτοτάτων. Τὰ δὲ φύλλα 72 α—75 β ἔμειναν ἄγραφα.

4201. 81. Χαρτ. 8. XV. (φ. 151).

1 (φ. 1 α). "Ἀρχὴ σὺν Θεῷ τοῦ πρώτου σχέδους κῦρ Μανουὴλ τοῦ Μοσχοπούλου."

2 (φ. 151). Ψαλτηρίου ἀπόσπασμα.

Τὸ ὑπ' ἀρ. 2 ἀκέφαλον καὶ κολοβόν (XVIII.).

4202. 82. Χαρτ. 8. XV. (φ. 127).

Μανουὴλ τοῦ Μοσχοπούλου Σχέδος.

Ἀκέφαλον καὶ κολοβόν· Ἀρχ....ὄργανα τινὰ κρουστά. Κύθηρα πόλις ἡ καὶ οὐδετέρως λέγεται πληθυντικῶς τὰ Κύθηρα. Τέλ. καὶ ἔξιμεν ἔξιτε ἐξίασι καὶ σύνιμεν σύνιτε συνίασι καὶ πρόσιμεν πρόσιτε προσίασι καὶ ἄνιμεν ἄνιτε...

4203. 83. Χαρτ. 8. XV. (φ. 270).

1 (φ. 2 α). [Ψευδοπλουτάρχου] "Περὶ βίου Ὁμήρου."

Ἀρχ. Περισσὸν μὲν ἴσως δόξειέ τισι πολυπραγμονεῖν περὶ Ὁμήρου. Τέλ. ἑτέρας ὑποθέσεις ποιούμενοι ἁρμόζουσιν ἐπ' αὐταῖς τὰ ἔπη μετατιθέντες καὶ συνείροντες.

Ἰδ. WESTERMANN Βιογράφοι. Brunsvigae, 1845. σ. 21 κ. ἑ. Τὸ δὲ τέλος οὐ συμφωνεῖ, ἐστὶ δὲ καθ' ὅλου ἡ πραγματεία αὕτη πολλῷ μακροτέρα τῆς ψευδοπλουταρχείου συγγραφῆς, ὡς ἐστιν εἰκάσαι ἐκ τοῦ ἀριθμοῦ τῶν φύλλων, εἰ μὴ συμβαίνει ἄλλο τι.

2 (φ. 54 β). "Περὶ στεναγμοῦ."

Ἀρχ. Φασὶ γενέσθαι τὸν στεναγμὸν οὕτω· τοῦ νοῦ πρός τι ἀσχολουμένου καὶ μὴ γινομένης κατὰ συνέχειαν τῆς ἀναπνοῆς.

Ἕπονται "Περὶ δακρύου" καὶ "Περὶ γέλωτος." Ἀρχ. Φασὶ γενέσθαι τὸ δάκρυον οὕτω. Τέλ. ὄνομα δὲ τῷ γενομένῳ γέλως ἐστί.

3 (φ. 55 α). "Ὀνόματα τῶν τοῦ σώματος μελῶν."

Ἀρχ. Τὸ ἁπαλὸν βρέγμα, τὸ ἀνώτερον καὶ ἐξογκώτερον τοῦ ὀπισθολάκκου ἰνίον. Τέλ. οἱ δὲ τοῦ ποδὸς δάκτυλοι ὡς καὶ τῆς χειρὸς, τὸ δὲ ὑποκάτω τοῦ ποδὸς πέλμα λέγεται.

4 (φ. 56 α). Θεοδώρου τοῦ Γαζῆ Γραμματικὴ εἰσαγωγή.

5 (φ. 214 α). Ἀδήλου "Σύνταγμα τεχνικώτατον περιέχον πᾶσαν σχεδὸν τὴν τῶν μέτρων μέθοδον."

Ἀρχ. Μέλλοντες περὶ μέτρων τῶν ἐν ταῖς ποιητικαῖς βίβλοις ἐμφερομένων βραχεῖαν τινὰ πρὸς τοὺς νέους τὴν διδασκαλίαν ποιήσεσθαι.

6 (φ. 228 α). "Τοῦ φιλοσοφωτάτου κῦρ **Θεοδώρου τοῦ Προδρόμου** Σύντομος ἐξήγησις τῶν Ἐρωτημάτων."

Ἀρχ. Καθάπερ τὸ ἀνθρώπινον σῶμα φιλολογωτάτη μοι βασιλίδων. *Τέλ.* ἀλλ' ἀκριβῶς ἐὰν ἐπιγνῷς καὶ τοῖς ἐρωτῶσί σε διασαφήσεις.

Ἴδ. καὶ 4215 (95), 2. 4216 (96), 3. 4267 (147), 11.

7 (φ. 251 β). "Τὰ λεγόμενα βασιλικὰ σχέδη *φέροντα ἀκροστιχίδα τήνδε· τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ ἡμῶν Ἰουστινιανῷ* **Ἀγαπητὸς** ὁ ἐλάχιστος **διάκονος**."

8 (φ. 256 α). Περὶ συνωνύμων βραχέα.

Ἀρχ. Διφθέρα ἡ τῶν αἰγῶν, μηλωτὴ ἡ τῶν προβάτων· δύο ἐπὶ προσώπων, δεύτερος ἐπὶ τάξεως. *Τέλ.* συνουσία ἐπὶ λόγων· μίξις ἐπὶ ἀφροδισίων.

9 (φ. 256 α). "**Ξενοφώντειον**."

Ἀρχ. Ὁποῖοι γὰρ ἂν προστάται ὦσιν.

10 (φ. 256 β). Ἰδιώματα τῶν διαλέκτων.

α' (φ. 256 β). "Ἰδιώματα τῆς ἀτθίδος φωνῆς." *Ἀρχ.* Τῶν ἀττικῶν ἐστι τὸ περιττολογεῖν λέγω λόγον τρέχω δρόμον. *Τέλ.* τούτων ἡ τῶν εἰς ως ἐπιρρημάτων τροπὴ εἰς ον καλῶς καλὸν κακῶς κακόν.—β' (φ. 257 α). "Ἰδιώματα τῆς δωρίδος διαλέκτου." *Ἀρχ.* Ἡ δωρὶς τρέπει τὸ η εἰς α μακρόν. *Τέλ.* Τὴν ὑπο πρόθεσιν υπαι λέγει τὸ ὅταν ὀτάν.—γ' (φ. 257 α). "Ἰδιώματα τῆς αἰολίδος διαλέκτου." *Ἀρχ.* Ἡ αἰολὶς τῷ ρ προστίθησι τὸ β ὅταν ἐπιφέρηται τῷ ρ. *Τέλ.* κίχραιμι γέλαιμι καὶ ἀποβολῇ τοῦ σ κλίνει εἰς τὰ βαρύτονα.—δ' (φ. 257 β). "Ἰδιώματα τῆς ἰάδος φωνῆς." *Ἀρχ.* Οἱ Ἴωνες τῇ Αἰνεία δωρικῇ κλίσει προστιθέασι τὸ ο Αἰνείαο. *Τέλ.* καὶ ὑπερβατοῖς χρῆται νήπιοι οἳ κατὰ βοῦν ὑπερήωνος ἠελίοιο ἤσθιον.

11 (φ. 257 β). Διάφορα ἀποσπάσματα *Ἑλλήνων συγγραφέων ἑλληνιστὶ καὶ Λατίνων λατινιστί.*

Εἰσὶ δ' Ἑλλήνων μὲν τοῦ **Πλουτάρχου, Πυθαγόρου** (*Τετρακτύς*), **Λύσιδος τοῦ πυθαγορείου** (*Ἐπιστολὴ πρὸς Ἵππαρχον*), **Ξενοφῶντος, Θουκυδίδου, Δημοσθένους, Εὐριπίδου**· *Λατίνων δὲ τοῦ* **Σαλλουστίου** (*Ἰουγούρθας, Κατιλίνας*) *καὶ* **Κικέρωνος** (De natura deorum, Tuscul. disp., De officiis).

Μεταξὺ τούτων (φ. 258 α) *καὶ* "Παροιμίαι." *Ἀρχ.* Ἀγαθῶν θάλασσα καὶ ἀγαθῶν μυρμηκιὰ καὶ ἀγαθῶν σωρὸς ἐπὶ πλήθει. *Τέλ.* Ἀείπερ εὖ πίπτουσιν οἱ Διὸς κῦβοι· ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων.

12 (φ. 263 α). Γραμματικοὶ κανόνες.

Ἀρχ. Ἰστέον ὅτι τὰ προτακτικὰ ἄρθρα ποτὲ μὲν κατ' ἐξοχὴν λαμβάνονται ὡς ὅταν εἴπω ὁ ποιητής. *Τέλ.* ἡνίκα δὲ τὸ ὄργανον ᾧ τινι τὸ πάθος ἐνήργηται πρὸς δοτικὴν οἷον ἐπλήγην τῷ ξίφει.

13 (φ. 264 β). Ἀποσπάσματα Λατίνων συγγραφέων.

Εἰσὶ δὲ γνῶμαι ἐκ τοῦ **Κικέρωνος** (De legibus) *καὶ βραχεῖαι διηγήσεις καὶ ἀνέκδοτα περὶ μεγάλων ἀνδρῶν, οἷον* Diogenes cum temulentiorem puellum esset conspiratus parentes ait ebry te genuerunt.—Xanthippus cani suo mortuo sepulchrum excelso in loco posuit. *Τέλ.* Bias filio suo Egiptum profitiscenti...pro viatico intelligens.

Ἐν τέλει· Florentie die XIII Septebris anno domini MCCCCXL (=1440).

Ἕπονται ἄλλα τινὰ λατινικὰ ἀποσπάσματα, ἐν οἷς καὶ **Κικέρωνος** (De divinatione) *καὶ* **Ὁρατίου** (De arte poëtica).

14 (φ. 267 α). **Θουκυδίδου** Ἀποσπάσματα δύο.

Ἐκ τῆς Γ' καὶ Β' τῶν Ἱστοριῶν.

15 (φ. 269 β). "Nota genera ludorum auctore **Suetonio**."

16 (φ. 269 β). **Κικέρωνος** De divinatione.

Βραχὺ ἀπόσπασμα.

Τὰ φ. 53 α—54 α, 220 β—221 β, 226 β—228 β, 255 β, 270 *οὐκ ἐγράφησαν ἐξ ἀρχῆς. Ἀλλ' ἔπειτα ἐν μὲν φ.* 220 β *ἐνεγράφησαν* "notanda ex epistolis **Ciceronis**," *ἐν δὲ φ.* 226 β —227 α *λατινιστὶ περὶ μέτρων τινά. Ἀρχ.* Viginti duo genera metrorum apud peritos hujus poetice artis viros tradita leguntur. *Τέλ.* plerumque reperitur quod syllaba in fine metri superabundat.

4204. 84. *Χαρτ.* 8. XV. (φ. 293).

1 (φ. 1 α). Πίνακες γραμματικοὶ ἐκ τῶν **Μανουὴλ τοῦ Μοσχοπούλου** (ἀκέφ.).

2 (φ. 7 α). "Ἀρχὴ σὺν Θεῷ ἁγίῳ [τῶν ἐρωτημάτων *τῶν] διορθωθέντων παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κῦρ* **Μανουὴλ τοῦ Μοσχοπούλου**."

Ἕπεται (φ. 73 α) *τὸ* Σχέδος **τοῦ αὐτοῦ**.

3 (φ. 179 α). "Ἀρχὴ τῶν Θεοτοκίων."

Ὥσπερ προεῖπε πρὸ χρόνων.—Ὑπὲρ φύσιν τὸ θαῦμα.—Τὴν σὴν ἁγνὴν σύλληψιν οὐκ ἔχω φράσαι.—Ἐλπὶς μόνη πάναγνε.

4 (φ. 191 β). Γνῶμαι καὶ ἀποσπάσματα.

Ἀρχὴ σοφία φόβος Κυρίου.—Δημοσθένης ὁ ἐν ῥητορείᾳ.—Μίμησαι τὸν μύρμηκα...

5 (φ. 209 α). "Ἀρχὴ τῶν μύθων."

Κλέπται εἴς τινα ἐλθόντες οἰκίαν.—Κορώνη....—Ὁ Ὀρφεὺς βραδὺ ἀποθνήσκει...

6 (φ. 254 α). "Ἔκθεσις κεφαλαίων παραινετικῶν *πρὸς τὸν βασιλέα Ἰουστινιανόν, ἐκτεθεῖσα παρὰ* **Ἀγαπητοῦ διακόνου**."

Μετὰ σχέδους.

7 (φ. 262 α). "**Ὁμήρου** Βατραχομυομαχία."

Μετὰ σχέδους. Τέλ. ἔπτη ἤγουν ἐπετάσθη· ἔστι ῥῆμα πετάω πετῶ τὸ πέτομαι ὅπερ καὶ βαρύτονον θέμα πέτω.

8 (φ. 288 β). "[Δ]εῖ σε γινώσκειν ὦ παιδίον *ὅτι ὀκτώ εἰσι πάντα τὰ μέρη τοῦ λόγου.*"

Τέλ. (κολ.) Πρόθεσις, οἷον ἀνά, κατά, διά, μετά, παρά, ἀντί, ἐπί, περί, ἀμφί...

Τὰ φ. 289—293 *ἄγραφα.*

4205. 85. *Χαρτ.* 8. XVIII. (φ. 188).

1 (φ. 2 α). "Θέσις γραμματικαὶ πληρέσταται *μεθόδῳ διαλεκτικῇ ὑποστροθεῖσαι καὶ εἰς διάλεξιν προτεθεῖσαι ἐκ τῆς τέχνης θεωρητικῆς τε καὶ πρακτικῆς* **Ἱλαρίωνος Κιγάλα Κυπρίου**, *ἱεροδιδασκάλου καὶ ἱεροκήρυκος.*"

2 (φ. 61 β). "Περὶ μέτρων ἐποποιΐας."

Ἀρχ. Ἐποποιΐα ἐστὶ τέχνη ἐλευθέριος ἔπος ἤτοι λόγον ἔμμετρον καὶ εὔρυθμον κατασκευάζουσα.

Κεφ. ιη΄, ὧν τὸ τελευταῖον "Περὶ διθυράμβων." Τέλ. τὸ ἰαμβικὸν μέτρον ἐκλήθη οὕτως ἐπείπερ οἱ ὑβρίζειν καὶ λοιδορεῖν τινὰς βουλόμενοι τούτῳ ἐχρῶντο τῷ μέτρῳ· ἰαμβίζειν γὰρ ἔλεγον τὸ ὑβρίζειν.

3 (φ. 81 α). "Ἀρχὴ σὺν Θεῷ τῶν ἐρωτημάτων τῶν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου **Μανουὴλ Μοσχοπούλου** διωρθωθέντων."

Τὰ φ. 75 β—80 β ἄγραφα.

4206. 86. Χαρτ. 8. XVI. (φ. 172).

1 (φ. 1 α). "Οὐρβανοῦ Συνόψεως γραμματικῆς βιβλία δύο."

Ἀρχ. Γραμματικῆς βιβλίον α΄. Μέρη γραμματικῆς τέσσαρα· γράμμα συλλαβὴ λέξις καὶ λόγος. Τέλ. ὑπὲρ γενικῇ ὅταν βοήθειαν ἢ αἰτίαν σημαίνει· ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἀπέθανεν· ὑπὲρ ὄνο σκιᾶς· αἰτιατικῇ ὅτε τὸ πλέον ἢ ἐπέκεινα δηλοῖ· ὑπὲρ ἄνθρωπον φρονεῖ, ὑπὲρ τὴν Θράκην ἡ Μακεδονία.—φ. 29 α. "Συνόψεως γραμματικῆς [**Οὐρβανοῦ**] βιβλίον β΄." Ἀρχ. Περὶ σχηματισμοῦ τῶν χρόνων χαρακτηριστικὰ συζυγιῶν τῶν βαρυτόνων. Τέλ. καὶ διὰ τοῦ ύω ὑπερδισύλλαβα παράγωγα εἰς μι ποιοῦντα οἷον πηγνύω πήγνυμι ὀμνύω ὄμνυμι. Ἔτι καὶ τὰ εἰς νίω ὀπνίω, ἀγνίω.

Μεταξὺ τοῦ α΄ καὶ β΄ βιβλίου ἐν φ. 27 β—28 β "Πῶς ἂν εἴποις ἑλληνιστὶ ἀττικώτερον καὶ μετ᾽ εὐφραδίας ἐγὼ κολάζω σε" καὶ ἄλλα ὅμοια θέματα βραχέα.

2 (φ. 39 α). "**Κωνσταντίνου Λασκάρεως** τοῦ Βιζαντίου Περὶ ἀντωνυμιῶν κατὰ πᾶσαν διάλεκτον καὶ ποιητικὴν χρῆσιν."

Ἀρχ. Ἐπειδὴ καὶ τὸ τὰς ἀντωνυμίας ἀκριβῶς εἰδέναι πάνυ χρήσιμον τοῖς εἰσαγωγικοῖς τυγχάνει. Τέλ. Ἔρρωσθε οἱ ἀναγινώσκοντες καὶ μέμνησθε ἐν Μεδιολάνῳ ἔτει χιλιοστῷ τετρακοσιοστῷ ἑξηκοστῷ ἔτους ͵αφνα΄ Ὀκτωβρίου ιγ΄.

3 (φ. 43 α). "**Δημητρίου Χαλκοκανδύλου**" Γραμματική.

Ἀρχ. Πόσα εἴδη; δύο· πρωτότυπον καὶ παράγωγον· πρωτότυπον μὲν οἷον δῆμος, παράγωγον δὲ οἷον δημοτικός. Τέλ. καὶ ταυτὶ μὲν ὡς ἐν βραχεῖ περὶ τῆς τῶν προθέσεων συντάξεως εἰρήσθω.

4 (φ. 163 α). "Τὰ εἴδη τῶν παραγώγων ὀνομάτων εἰσὶν ἑπτά, πατρωνυμικόν, κτητικόν, συγκριτικόν, ὑπερθετικόν, ὑποκοριστόν, παρώνυμον καὶ ῥηματικόν."

Τέλ. Ὅτι ὅπερ χρώμεθα δὲ ὅτι ταύτη καὶ ἐν ταῖς ἐρωτίσεσι μετα στιγμῆς οἷον σὺ ταῦτα λέγεις. Καὶ περὶ τούτων ἅλλις.

5 (φ. 170 α). Φράσεις καὶ λέξεις ἀρχαῖαι ἑρμηνευόμεναι.

Ἀρχ. Κατάγομαι παρὰ τῷ Πέτρῳ· κατοικῶ κοντὰ εἰς τὸν Πέτρον. Τέλ. ὁ Παῦλος ἐστὶν ἄξιος τῆς ἐμῆς δεξιᾶς· ὁ Παῦλος εἶναι ἄξιος νὰ σκοτωθῇ ἀπὸ τὸ χαίρη μου. Δήμιος ὁ ντζελάτης.

Ἐν φ. 1 α· Ἐκ τῶν Νεοφύτου Ἄρτης.

Τὰ φ. 108 β—109 β καὶ 172 ἄγραφα.

4207. 87. Χαρτ. 8. XVIII. (φ. 97).

1 (φ. 3 α). "Τοῦ σοφωτάτου καὶ λογιωτάτου ἔν τε γραμματικῇ καὶ πάσῃ φιλοσοφίᾳ ἀρίστου ἐν ἱεροδιδασκάλοις **Γερασίμου τοῦ Βυζαντίου** Περὶ τοῦ τεχνολογικοῦ μέρους τοῦ κατὰ γραμματικήν."

Ἀρχ. Ἰστέον ὅτι οὐ μόνον δεῖ τοὺς τεχνολόγους πυκνοῖς κανόσι καὶ παραδείγμασι τὸν νοῦν τῶν μαθητιώντων βαρύνειν. Τέλ. οὕτω γὰρ τοῦ Σωτῆρος ἡμῶν τοὺς θιάσοντας ὠνόμαζε ποιητικῶν καὶ ῥητορικῶν καὶ φιλοσόφων μεταλαγχάνειν λόγων.

2 (φ. 7 α). "Θεοδώρου [Γαζῆ] Γραμματικῆς εἰσαγωγῆς τῶν εἰς τέσσαρα τὸ τέταρτον."

Ἐν φ. 92 β· Γέγραπται δια χειρὸς ἐλαχίστου Ἰωάννου Καστροφιλάκου ἔτει σωτηρίῳ ᾳψνα^ω^ ἐν μηνὶ Φευρουαρίῳ κϛ΄ (=1751).

4208. 88. Χαρτ. 8. XV. (φ. 67).

Μανουὴλ τοῦ Μοσχοπούλου Ἐρωτήματα.

Κῶδιξ ἀκέφαλος καὶ κολοβός. Ἀρχ. Κατὰ πόσους τρόπους γίνεται ὁ σολοικισμός; Κατὰ ἕνδεκα, κατὰ πλεονασμὸν λέξεων...

4209. 89. Χαρτ. 8. XVI. (φ. 107).

[**Κωνσταντίνου τοῦ Λασκάρεως**] Γραμματική.

Ἀρχ. (ἀκέφ.)...ὄνομα ῥῆμα μετοχὴ ἄρθρον ἀντωνυμία πρόθεσις ἐπίρρημα σύνδεσμος. Τούτων κλιτὰ μὲν πέντε...

4210. 90. Χαρτ. 8. XVI. (φ. 100).

1. [**Κωνσταντίνου τοῦ Λασκάρεως**] Γραμματικὴ ἀνεπίγραφος.

Ἀρχ. Γράμμα ἐστὶ μέρος ἐλάχιστον φωνῆς ἀδιαίρετον. Τέλ. (ἐν τοῖς περὶ ἀπροσώπων ῥημάτων) ἤκουσταί μοι ἔγνωσταί μοι καὶ ἤκουσται ὑπ᾽ ἐκείνων· καὶ ταῦτα μὲν ἱκανὰ ὡς ἐν ἐπιτομῆς εἴδει, παρ᾽ ἄλλοις δὲ διεξοδικώτατα εὑρίσεται.

Ἔστι δ᾽ ὁμοία τῇ ὑπ᾽ ἀρ. 4209 (89).

2 (φ. 77 α). "**Μαξίμου μοναχοῦ τοῦ Μάζαρι** Κανὼν περὶ πνευμάτων καὶ ἀντιστίχων κατὰ ἀλφάβητον. Ἦχος β΄ Ἐν βυθῷ."

Ἀρχ. Ἀναφὴς καὶ ἄκτιστος Θεὸς καὶ ἀκατανόητος στερητικὸν ἄλφα ἔχει ψιλούμενον.

Ἰδ. καὶ 3225 (152), 5. 4215 (95), 3.

3 (φ. 79 α). [**Τοῦ αὐτοῦ**] "Ἕτερος περὶ ἀντιστίχων κατὰ ἀλφάβητον."

Ἀρχ. Ἀεὶ τὸ ἐπίρημα δηλοῦν διὰ παντὸς τὸ αὐτό.—φ. 81 α. "Ὠδὴ η΄." Γόνος θρῆνος γόνυ Γολιάθ.

Ἰδ. καὶ 3225 (152), 6. 4215 (95) 4.

4 (φ. 82 α). "Ἕτερος κανὼν **τοῦ αὐτοῦ** ὅμοιος κατὰ ἀλφάβητον."

Ἀρχ. Ἀεὶ ὡσεὶ καὶ ποάνει τὴν δίφθογγον εἶ κατασπάζεται.—φ. 83. "Ὠδὴ ζ΄." Φήμη φημῷ καὶ εὐφημία· φηγὸς δένδρι τε τὸ φέρων τὰς βαλάνους.

5 (φ. 84 β). "**Τοῦ Ζηγανοῦ** (γρ. **Ζιγαβηνοῦ**) κῦρ **Γεωργίου** Περὶ τῶν ἑπτὰ φωνηέντων ποῦ τε δασύνονται καὶ ποῦ ψιλοῦται."

Ἀρχ.

Βούλομαι φίλε πρὸς μικρὸν ὧδέ σοι σαφηνῆσω.

Τέλ.

οἴδημα δὲ τὸ φύσημα καὶ οἴησις ἡ δόξα,
ὄλυνθος ἀγριόσυκον, ὀμνύω τὸ ὠμοῦμαι.

Οἱ στίχοι γεγραμμένοι καταλογάδην.
Ἴδ. καὶ 3225 (152), 2. 4215 (95), 5.

6 (φ. 92 α). "Τὰ ὀκτὼ μέρη τοῦ λόγου."
Ἀρχ. Δεῖ σε γινώσκειν ὦ παιδίον ὅτι ὀκτὼ εἰσι πάντα τὰ μέρη τοῦ λόγου. Τέλ. καὶ ἐγὼ διδάσκω σὺ μανθάνεις· ἰδοὺ γὰρ τὸ μὲν ἀναγινώσκων καὶ τὸ μανθάνων μετο...Καὶ φαίνεται μὲν οὕτω μένον κολοβὸν τὸ γραμματικὸν συνταγμα, ἀλλ' εὕρηται ὅμως ἡ συνέχεια αὐτοῦ καὶ τὸ τέλος ἐν φ. 94, α μετὰ τὸ ὑπ ἀρ. 7 ποίημα. Ἀρχ....χαί εἰσι τὸ δὲ ἐγὼ καὶ σὺ ἀντωνυμία. Τέλ. ὄρεξον χεῖραν ὃ δηλοῖ τὸ ἅπλωσον καὶ λάβε.

7 (φ. 94 α). **Ἀδήλου** Ποίημα δώδεκα στίχων.
Ἀρχ.
Ζωὴν εἰ θέλομεν εὑρεῖν τὴν θαυμαστὴν ἐκείνην
ζηλώσωμεν τὸν κάματον τῶν θαυμαστῶν πατέρων.
Τέλ.
λόγος καὶ γὰρ ἀσύμφορος ἅπαν μολύνει σῶμα.

8 (φ. 94 β). **Γρηγορίου τοῦ Θεολόγου** Γνωμικὰ δίστιχα.
Ἀρχ. Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος.
Ἕπονται δίστιχα "Εἰς τὸν βίον" καὶ ἄλλα ὧν τελευταῖον "Εἰς χρυσόν." Μετὰ δὲ ταῦτα ἕτερα "Εἰς τὸν βίον" καὶ δύο ἄλλα ποιημάτια.

9 (φ. 98 β). "Σχεδογραφίαι βασιλικαί."
Ἀρχ. Ἐρεῦνα ὦ παὶ ἐν τῷ γράφειν τὰ ῥήματα καὶ τὰ ἐπιρρήματα τάς τε κλίσεις τῶν ὀνομάτων καὶ τὰς τῶν ἀντωνυμιῶν γραφάς. Τέλ. Εὔφωνος καὶ εὔλαλος, ἀνεξίκακος καὶ τὰ λοιπὰ τῶν ἀρετῶν τὸ δὲ οὐλόν φησι καὶ ὀλιγότριχον ἐπὶ τοῦ Χριστου εἰκαιότερον.
Ἐν φ. 76 β· Ἡ βίβλος αὕτη ἐμοῦ πέφυκεν Νεοφύτου καὶ θύτου ὑπάρχοντός μου ἐξ Ἄρτης τοῦ Ἐπάκτου.

4211. 91. Χαρτ. 8. XVII. XVIII. (φ. 56).

1 (φ. 1 α). Γνῶμαι καὶ γραμματικαὶ σημειώσεις.
Ὁμοίως καὶ ἐν τοῖς παραφύλλοις.

2 (φ. 2 α). "1698 Μαρτίου 20. **Ἀναστασίου** ἱερομονάχου **τοῦ Γορδίου** Περὶ τῆς κατὰ λόγον ποσότητος τῶν συλλαβῶν ἐγχειρίδιον."
Ἀρχ. Τῶν συλλαβῶν αἱ μέν εἰσι μακραί, αἱ δὲ βραχεῖαι.

3 (φ. 36 β). "Στίχοι εὐχαριστήριοι
πρὸς τὸν σοφώτατόν μοι καθηγητὴν κύριον Ἀναστάσιον Παπᾶ Βασιλόπουλον τὸν ἐξ Ἰωαννίνων οἵτινες ἐπονήθησαν ἡνίκα μοι τὸ παρὸν ἐγχειρίδιον δέδωκεν ἀντιγραφῆς ἀξιῶσαι."
Στίχοι δώδεκα. Ἀρχ.
Ἀγλαόμορφον ἔεις σοφίης ἀτρεκέστατα ἔρνος.

4 (φ. 37 α). Σημειώματα ἀνάξια λόγου.

5 (φ. 38 α). "Γνωμικὰ δίστιχα **Γρηγορίου τοῦ Θεολόγου.**"
Ἀρχ.
Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος.
Τέλ.
Πείθειν γὰρ οἶδε κἂν μὴ πέφυκε λέγειν.
Μετὰ διαστίχου ἐξηγήσεως εἰς τὴν καθωμιλημένην.

6 (φ. 42 β). "**Τοῦ αὐτοῦ Γρηγορίου τοῦ Θεολόγου**
Γνῶμαι παραινετικαὶ μονόστιχοι κατ' ἀλφάβητον."
Ἀρχ. Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ Θεόν.
Τέλ. Ὦ ἀγαπητὲ ταῦτα ποίει καὶ σώζου.
Μετὰ διαστίχου ἐξηγήσεως εἰς τὴν καθωμιλημένην.

7 (φ. 45 β). "**Θεοκρίτου** Εἰς νεκρὸν Ἄδωνιν εἰδύλλιον."

8 (φ. 47 α). "Χρυσᾶ ἔπη **τοῦ Πυθαγόρου.**"

9 (φ. 49 α). "**Φωκυλίδου** Ποίημα νουθετικόν."
Προτάσσονται "Στίχοι εἰς τὸν Φωκυλίδην" καὶ "Εἰς τὸν αὐτὸν ἕτεροι."
Ἐν τῷ πρώτῳ παραφύλλῳ τῷ συνεσταχωμένῳ τῷ ξύλῳ τοῦ περικαλύμματος γέγραπται διὰ μονοκονδυλίας· Νεοφύτου ἱερομονάχου Χριστοπούλου καὶ Ἰβηρίτου.

4212. 92. Χαρτ. 8. XVI. (φ. 376).

1 (φ. 1 α). "Οἱ χρόνοι τοῦ φεγγαρίου."
Κατὰ μῆνας ἀπὸ τοῦ ͵αφ' μέχρι τοῦ ͵αφξ'.

2 (φ. 2 α). "Πίναξ τῆς παρούσης βίβλου·
εἰσὶν δὲ καὶ ἄλλα τινὰ ἃ οὐκ εἰσὶν εἰς τὸν πίνακα."

3 (φ. 6 α). "Σύνοψις περὶ ἀντιστοίχων·
πρὸς ἰδιώτας εἰς τὸ γράφειν."

4 (φ. 27 α). "**Εὐσεβίου τοῦ Παμφίλου**
Ἐκλογὴ συντομωτέρα περὶ μέτρων καὶ σταθμῶν."

5 (φ. 27 β). "Ὀνόματα τῶν μεθηλικιώσεων τοῦ ἀνθρώπου."

6 (φ. 27 β). "Διαφοραὶ ἡλικιῶν κατὰ πλάτος σύντομοι."

7 (φ. 28 α). "**Τοῦ ἁγίου Ἐπιφανίου**
Περὶ μέτρων καὶ σταθμῶν."
Ἀρχ. Κόρος σίτου μόδια λ' ὃ κέκληται χώρ. Τέλ. Δεῖ γινώσκειν ὅτι ρ' δηνάρια ὑπῆρχεν ὁ ἄργυρος καὶ πέπρατο ὁ Κύριος λ' ἅτινα συνάγεται γ' δυνάρια γινόμενα ἐν χρυσῷ νομίσματα ρ'.

8 (φ. 30 α). "Ἐκ τῆς ἀρχαιολογίας **Ἰωσίππου.**"
Ἀρχ. Ὅτι τοῖς παρ' Ἑβραίοις περιέχει δύο χόας ἀττικούς, ὁ δὲ χοῦς ἔχει ξέστας ξ'. Τέλ. Τὸ μίλιον ἔχει στάδια ξς'· ἡ λίτρα ἔχει οὐγγίας ιβ'.

9 (φ. 30 α). "Διὰ τί ἐπὶ τοῦ ὕπνου
μὴ ξυμβαλομένων τῶν βλεφάρων θανάσιμόν ἐστι· ἐπεὶ δηλοὶ ἄμετρον θερμασίας καὶ ξηρότητος καὶ ἄγριον πυρετόν."
Τέλ. διαφορεῖ συνεχῶς τὰ φλεγματώδη περιττώματα διλοῖ δὲ τοῦτο πυπικνῶς ἱδροῦντας.
Ταῦτα ἐγράφησαν ἄλλῃ χειρί.

10 (φ. 31 α). Περὶ μέτρων καὶ σταθμῶν,
τὰ πλεῖστα ἐκ τῶν **τοῦ Ἐπιφανίου.**
Ἀρχ. Χοῦς ἐστι ξεστῶν η', τὸ δὲ καλούμενον ἄγιον ξεστῶν ς' ὅ ἐστι δωδέκατον μετριτοῦ. Τάλαντόν ἐστι τὸ ὑπερβάλλον πᾶν σταθμιζόμενον μέτρον· κατὰ δὲ τὸν λιτρισμὸν ρκε' λιτρῶν ὑπάρχει ͵ς' λεπτὰ τοῦ ταλάντου. Τέλ. φημὶ δὲ ὡς καὶ τῷ σίκλῳ τὴν τρίχα τοῦ Ἀβεσσαλὼμ ἐστάθμιζον κατὰ τὸν καιρὸν ὅτ' ἂν ἐκορεύετο ὁλκεῖς ἐχούσας ρκε' σίκλους ὅ ἐστι τριάκοντα μιᾶς οὐγκίας καὶ σίκλου ἑνὸς ὡς δύο ἥμισυ λιτρῶν καὶ σίκλου ἑνός.—"Περὶ ὀβολοῦ." Ἀρχ. Ὁ ὀβολὸς καὶ αὐτὸς ἐν αργυρίοις ἐτετύπωτο· ὄγδοον δ' ἦν καὶ αὐτὸς τῆς οὐγκίας οὐκ ἐξ αργύρου πεποιημένος, ἀλλ' ἀπο σιδήρου. Τέλ. Κόλλαθόν ἐστιν παρὰ τοῖς Σύροις τὸ ἥμισυ τοῦ ὑγροῦ σάτου ὅ ἐστι ξεστῶν κε'.

11 (φ. 32 α). "Τῇ μεγάλῃ Πέμπτῃ ἀπόλϋσις."
"Αρχ. Ὁ δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν ἐνανθρωπήσας.
"Επονται α'. "Τῷ μεγάλῳ Σαββάτῳ ἀπόλυσις."—β'. "Εἰς τὸν Ἐπιτάφιον."

12 (φ. 32 β). "Τῇ μεγάλῃ Πέμπτῃ ἀντὶ τοῦ Χερουβικοῦ λέγομεν τοῦτο Τοῦ δείπνου σου τοῦ μυστικοῦ."
"Επεται "Τῷ μεγάλῳ Σαββάτῳ ἀντὶ Χερουβικοῦ λέγεται Σιγησάτω πᾶσα σάρξ."

13 (φ. 33 α). "Περὶ τῆς ὑψώσεως τῆς Παναγίας ὅπως γέγονε καὶ διατί."
"Αρχ. Μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φρικτὴν ἀνάστασιν.

14 (φ. 34 α). Ἐξήγησις λέξεων.
"Αρχ. Ἀστὴρ καὶ ἄστρον διαφέρει· ἀστὴρ γὰρ ὁ κῶνος...—Ἀνὴρ οὐ πᾶσαι αἱ κινήσεις κατὰ φύσιν...—Ἀστραπὴ ῥῆξις πυρός.

15 (φ. 35 α). "Λεξικὸν κατὰ ἀλφαβίτου."
"Αρχ. Ἀᾶσαι κορέσαι καθυπνῶσαι βλάψαι. Ἀασάμην ἐβλάβην. "Ααπτος ἀβλαβής. Τέλ. Ὠχρός· χλορός. "Ωψ ὠπός. "Ωψε ὤφθης. Ὠὼν ὠά, αὐγά.

16 (φ. 153 α). "Λέξεις τὸν ρν' Ψαλμῶν."
"Αρχ. Ἀβάτω ἀπορεύτω· "Αβυσσος ὑδάτων πλῆθος ἀπεράντων. Τέλ. Ὠσθὴς, ὠθιζόμενος. Ὠσμένω· ὠθισμένῳ πεσόντι.

17 (φ. 156 β). "Λέξεις τὸν Ὠδῶν τῆς Ψαλτῆρος."
"Αρχ. Τριστάτας τρίτης μοίρας ἔχοντας. Τέλ. Παράτεινον τὸ ἔλεός σου μὴ ἐκκόψῃς με, ἀποστήσεις.

18 (φ. 157 β). "Λέξεις τοῦ Ἰώβ."
Αρχ. Αἴθριος ἔξω ὑπὸ τὸν αἰθέρα ἤτοι ἀέρα. Τέλ. Ὠρίων ἄστρον οὕτω καλούμενον.

19 (φ. 158 α). "Λέξεις τῶν Παροιμιῶν."
"Αρχ. Παροιμίαι παραινέσεις παραμυθίαι, νουθεσίαι ἠθῶν ἔχουσαι καὶ παθῶν ἐπανόρθωσιν. Τέλ. Χοιρογρύλλιον· ἐχῖνον, θηρίον, ἀγκαθόχοιρον (ἡ τελευταία λέξις προστέθειται χειρὶ νεωτέρᾳ). Ὥρισεν ἔκρινεν.

20 (φ. 159 β). "Λέξεις τοῦ Παναρέτου." (γρ. Παναρίου).
"Αρχ. Αὐτοσχεδίως ἐκ τοῦ παρατυχόντος αὐτομάτως. "Αμοιρος ἀμέτοχος ἀγερο(χ)ψίας. Τέλ. φλοιὸν λέπος. Φάσματα φαντάσματα.

21 (φ. 161 β). "Λέξεις τοῦ Εὐαγγελίου."
"Αρχ. Ἀποστάσιον e libello. Ἀσσαρίων al danaro. Ἀπήγξατο apicossa. Τέλ. Θεὸν ἀπὸ τοῦ θέειν καὶ περιτρέχειν καὶ μηδαμοῦ ἑστάναι ἀλλὰ τὰ πάντα πληροῦν.
Προστέθεινται καὶ ἄλλα τινὰ χειρὶ νεωτέρᾳ.

22 (φ. 164 α). "Λέξεις ἑβραϊκαὶ ἀρχόμεναι ἀπὸ τοῦ Ἀδάμ."
"Αρχ. Ἀδὰμ γῆ σαρκουμένη ἢ μαρτυρία. Τέλ. Χελέων πορευόμενος. Ψαλμὸς, ὑπὲρ ἑνὸς κριτοῦ.

23 (φ. 168 β). "Ὀνόματα προφητῶν."
"Αρχ. Ὠσηὲ, σκιάζειν. Ἐμὸς, γένος. Τέλ. Ῥαφαὴλ ἴασις ὡς ἰσχυροῦ ἢ σωτηρία ἰσχυροῦ ἢ πνεῦμα Θεοῦ. Οὐριὴλ πῦρ Θεοῦ.

24 (φ. 169 α). "Λέξεις τῶν προφητῶν."
"Αρχ. Ἀρπῶμαι, ἁρπάζω. Ἀνδύχων ἀνάστασιν ἐποίουν. Τέλ. Φαυλισμὸς, μυκτηρισμός. Φαυλίστρια καταγελῶσα. "Επονται α' (φ. 170 β). "Λέξεις Ἰεζεκιὴλ τοῦ προφήτου."—β' (φ. 171 α). "Ἐκ τοῦ Ἡσαΐου καὶ Ἱερεμίου."—γ' (φ. 171 α). "Ἐκ τοῦ Ζαχαρίου."—δ' (φ. 171 α). "Ἐκ τοῦ Δανιήλ."

25 (φ. 171 β). Λέξεις ἐκ τοῦ Ἐκκλησιαστοῦ καὶ τῶν Βασιλειῶν.

26 (φ. 173 β). "Λέξις τῶν Ὠδῶν τοῦ Ψαλτῆρος."
"Αρχ. Τριστάτας τρίτης μοίρας ἔχοντας. "Εθραυσεν συνέτριψεν. Τέλ. παράτεινον τὸ ἔλεός σου· μὴ ἐκκόψῃς με, ἀποστήσεις.
"Ιδ. καὶ ἀνωτέρω ὑπ' ἀρ. 17.

27 (φ. 174 β) "Ἑτοιμολογίαι τῶν ὀνομάτων."
"Αρχ. Τί ἐστιν εἰρήνη, κατὰ τὸ ἠρεμεῖν τὸν νοῦν, ὥσπερ πάλιν ταραχὴ κατὰ τὸ ῥόον χεῖσθαι, καὶ πλάνη, κατὰ τὸ πλαγίζει τὸν νοῦν. Σωφροσύνη κατὰ τὸ σῶα φρονεῖν ἀπὸ ῥύπου. Ἀνάστασις, ἄνω στάσις ἤτοι ἔγερσις. Φθορὰ ἐκ τοῦ φθείρεσθαι ῥάον, ἤτοι σήπεσθαι εὐχερῶς. Τέλ. Παρὰ τί ἄνθρωπος, παρὰ τὸ ἄνω ἀθροῦν τὴν ὄπα, ἤγουν ἄνω βλέπειν ἢ τὸ ὀρθῶς περιπατεῖν· πάντων γὰρ τῶν ζώων κάτω βλεπόντων, μόνος ὁ ἄνθρωπος ἄνω βλέπειν· παρὰ τί κεφαλὴ, παρὰ τὸ κύειν αὐτὴν τὰ ὠφελήματα, ἤγουν ἐν αὐτῇ ἔχειν τὰ ὠφελοῦντα τὸν ἄνθρωπον αἰσθητήρια. Μήνη ἡ σελήνη, ἀπὸ τοῦ μὴ μένειν ἐν ταὐτῷ, ἀλλὰ ποτὲ μὲν μειοῦσθαι, ποτὲ δὲ αὐξάνεσθαι.
Ἐν ἀρχῇ καὶ τέλει τῶν σελίδων, ἐν αἷς αὗται αἱ Ἐτυμολογίαι, εὕρηνται καὶ μεταγενέστεραι προσθῆκαι. Τοῦ δὲ ὅλου προτάσσονται τάδε. Ἐτ(ι)ομολογία ἐστὶ τὸ ἐξ αὐτῆς τῆς τοῦ πράγματος ὀνομασίας εὑρίσκειν τὴν ἑρμηνείαν καὶ τὼ διὰ τί οὕτως ὀνομάζεται.

28 (φ. 178 α). "Ὀνόματα τῶν Ἀποστόλων ἑρμηνευόμενα."
"Αρχ. Πέτρος ἐπιλύων ἢ ἐπιγνούς. Παῦλος θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβολος. Τέλ. Ὡσάννὰ, σῶσον δὲ ὡσαύτως.

29 (φ. 178 β). "Λέξεις τῶν Πράξεων."
"Αρχ. Ὀπτανόμενος, ὁρώμενος, φαινόμενος. Τέλ. ἱερὸν οἶκον Θεοῦ.

30 (φ. 179 β). "Τοῦ ἁγίου ἀποστόλου Παύλου."
"Αρχ. "Πρὸς Ἑβραίους." Πολυμερῶς δια πλειόνων. Πολυτρόπως, ποικίλως. Τέλ. Ἀνατέταλκεν ἀνέτειλεν. Παραβολὴ τύπος ὁμοίωσις.

31 (φ. 182 β). "Ἐκλογὴ λέξεων κατὰ διαφοράν."
"Αρχ. Ἀμύμονα ἀγαθὸν φέρτερον. "Ασθεος ἀγαθόν. Δεξιὸς ἀγαθός. Τέλ. Ὡς ἔπος εἰπεῖν· ὡς λόγον εἰπεῖν. Ὠτοκοπεῖ· ἐνοχλεῖ λαλῶν.

32 (φ. 185 α). "Λεξικὸν κατὰ ἀλφαβήτου συνοπτικόν."
"Αρχ. Ἀγάπη ἄπαυστος πρόθεσις ἐπὶ τῇ τοῦ φιλουμένου φιλίᾳ καὶ τὸ προτιμᾶν ἑαυτοῦ ἀεὶ ἀπόντα καὶ παρόντα τὸν ἠγαπημένον ἢ ἡ τῶν ἀνθρώπων πρὸς ἀλλήλους συμψυχία. Τέλ. Ὠδεῖον τὸ σχολεῖον. Ὠδοιδόκουν ἐλῄστευον. Ὠδύσσατο ὠργίσθη.

33 (φ. 194 α). "Ἕτερον λεξικὸν κατ' ἀλφάβητον συνοπτικόν."

Ἀρχ. Ἀγαθὸς φύσει μόνος ὁ Θεός· γίνεται δὲ καὶ ὁ ἄνθρωπος ἐξ ἐπιμελείας τῶν τρόπων. Τέλ. Φεισὼν ἑρμηνεύεται πληθύς· ἔστιν δὲ ποταμὸς ὃν Ἕλληνες Γάγγην ὀνομάζουσιν ἐκ μὲν τοῦ Παραδείσου προϊών, ἐπὶ δὲ τὴν Ἰνδικὴν φερόμενος ἐκδίδωσιν εἰς τὸ πέλαγος. Λέγεται δὲ κυκλοῦν πᾶσαν γῆν Εὐιλὰτ οὗ τὸ καλὸν χρυσίον καὶ ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος.

34 (φ. 210 α). "Τί ψυχὴ καὶ κατὰ τί εἴρηται ψυχὴ καὶ ὁσαχῶς λέγεται ἡ ψυχή."

Ἀρχ. Καὶ εἴρηται μὲν ἐν τῇ Γραφῇ τῇ παλαιᾷ διττῶς ἡ ψυχή. Τέλ. Νόησον ὅτι σάρκα τὴν φθαρτὴν εἶπεν· οὐ γὰρ εἴρηκεν ὅτι οὐκ ἔτι γινώσκομεν Χριστὸν κατὰ σῶμα, ἀλλὰ κατὰ σάρκα, τουτέστιν οὐκ ἔτι ἐν ουσίᾳ ῥευστῇ.

35 (φ. 210 β). **Φωτίου** Ἐπιστολή.

"Τῷ θεοφιλεστάτῳ ὁσιωτάτῳ συλλειτουργῷ Λέοντι ἀρχιεπισκόπῳ Καλαβρίας **Φώτιος** ἀρχιεπίσκοπος **Κωνσταντινουπόλεως.**"

Ἀρχ. Τὰ παρὰ τῆς ὑμῶν θεοφιλείας.

Εὕρηται ἐκδεδομένη παρὰ ΒΑΛΕΤΤΑ (Ἐπιστολαὶ Φωτίου σ. 572 κ. ἑ.) μετ' ἐλαχίστων παραλλαγῶν.

36 (φ. 214 α). "Περὶ αἰσθήσεως."

Ἀρχ. Αἰσθήσεις εἰσὶ παρ' ἡμῖν ε'.

Ἕπονται α' (φ. 214 α). "Περὶ φθαρτοῦ τί φθαρτὸν καὶ κατὰ τί εἴρηται φθαρτὸν καὶ ὁσαχῶς ἡ φθορά."—β' (φ. 214 β). "Περὶ λόγου· τί λόγος καὶ ὁσαχῶς ὁ λόγος καὶ κατὰ τί εἴρηται λόγος." Τέλ. οὕτως ἀδύνατον εἶναι ψυχὴν μὴ ἔχουσαν τὰ τρία μέρη δι' ὧν συνέστηκεν...

Μένει κολοβόν, λειπόντων φύλλων.

37 (φ. 216 α). "Περὶ ὁμοίων καὶ διαφόρων λέξεων **Ἀμμωνίου.**"

Ἀρχ. Ἄβαξ καὶ ἀβάκιον διαφέρει· ἄβαξ μὲν γὰρ ἐφ' οὗ τὰ πράγματα παρατιθέασιν· ἀβάκιον δὲ ἐφ' οὗ ψιφίζουσιν. Τέλ. ὠτειλὴ καὶ οὐλὴ διαφέρει· ὠτειλὴ μὲν γάρ ἐστιν τὸ πρόσφατον τραῦμα παρὰ τὸ οὐτάσθαι, οὐλὴ δὲ ἡ ὑγιασμένη σὰρξ ἐκ τραύματος παλαιοῦ ὡς Ὅμηρος Οὐλὴν τὴν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι. Τέλος τοῦ περὶ ὁμοίων καὶ διαφόρων λέξεων **Ἀμμωνίου.**

38 (φ. 266 α). "Τάξις παλαιὰ καὶ ὀνομασίαι τῶν ἀρχόντων."

Ἀρχ. Καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ. Τέλ. ὑπερκέρωσις δὲ ὅταν ἐκ τοῦ ἑτέρου μέρους μόνον ὑπερέχωμεν τῶν πολεμίων...

39 (φ. 273 α). "Συναγωγὴ τῶν πρὸς διάφορον σημασίαν λέξεων κατὰ στοιχεῖον."

Ἀρχ. Ἄγων τοῦ ἄγοντος ὁ κινῶν. Ὁ Ἀγὼν τοῦ ἀγῶνος. Ἄγριος τοῦ ἀγρίου. Ἀγρεῖος τοῦ ἀγρίου. Ἀρίστων τοῦ Αρίστωνος. Ὁ Ἀριστῶν τοῦ ἀριστῶντος. Τέλ. Ὧρα ὥρας ἡ, δασύνεται. Ὧρα ὥρας ἡ, ψιλοῦται.

Ὑπὸ χειρὸς νεωτέρας εὕρηνται γεγραμμέναι μετὰ τὴν γενικὴν ἑκάστης λέξεως ἄλλαι λέξεις ἑρμηνευτικαὶ τῶν ἐν τῇ Συναγωγῇ ἀρχῆθεν ἀναγεγραμμένων.

40 (φ. 283 β). "Ἑρμηνία τῶν μελῶν τοῦ ὅλου σώματος τοῦ ἀνθρώπου."

Ἀρχ. Βρέγμα τὸ λεγόμενον ἁπαλόν. Ἰνίον δὲ ὁ ὀπισθόλακος κρόταφος οἷον οἱ μήνιγγες. Τέλ. Πρωκτὸς ὁ κῶλος· τὸ αὐτὸ καὶ σθέναρ.

41 (φ. 285 α). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Κανόνες.

α' (φ. 285 α). "Τοῦ ἁγίου **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Εἰς τὴν ἑορτὴν τῆς κατὰ σάρκα γεννήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Κανὼν δι' ἰάμβων στίχων."—β' (φ. 294 α). "Ἕτερος κανὼν εἰς τὴν ἑορτὴν τῶν Θεοφανίων ποίημα τοῦ αὐτοῦ **Ἰωάννου τοῦ Δαμασκηνοῦ.**"

42 (φ. 312 α). "Ἕτερος κανὼν εἰς τὴν ἑορτὴν τῆς ἁγίας Πεντηκοστῆς ποίημα **Ἰωάννου** μοναχοῦ **τοῦ** ἐπικελησμένου **Ἀρκλᾶ.**"

Ἀρχ. Θειογενὲς λόγε πνεῦμα παράκλητον πάλιν,
ἄλλου ἐκ γενέτου κόλπων ἧκας ἐπιχθονίοις.

Τῶν ὑπ' ἀρ. 41 καὶ 42 Κανόνων γέγραπται τὸ κείμενον μετὰ καὶ διαστίχου ἐξηγήσεως μεθ' ἑκάστην ᾠδήν.

43 (φ. 309 α). "**Κάτωνος** Ῥωμαίου Γνῶμαι δίστιχοι, ἃς ἐκ τῆς τῶν Λατίνων γλώσσης μετήνεγκεν.... **Μάξιμος ὁ Πλανούδης.**"

Τὸ προοίμιον μετὰ διαστίχου ἐξηγήσεως.

44 (φ. 333 α). Περὶ Ἰουστινιανοῦ καὶ Ἰουστίνου. Σημειώματα ἀνεπίγραφα.

45 (φ. 333 α). [**Νικηφόρου τοῦ Ξανθοπούλου**] "Εἰς τοὺς ποιητάς."

46 (φ. 333 β). "**Ἰωσήπου.**"

Βραχὺ ἀπόσπασμα περὶ τοῦ Ἰησοῦ.

47 (φ. 333 β). Βραχέα περὶ θεῶν καὶ ἡρώων.

Ἀρχ. Ἰστέον ὅτι ὁ Ζεὺς ἔφερε πλευστικὴν, Ποσιδῶν κυβερνητικήν. Τέλ. Παλαμήδης ἀριθμοὺς καὶ στάθμια καὶ τὴν τῶν γραμμάτων σύνθεσιν.

48 (φ. 334 α). "Περὶ ἐπωνυμίας πόλεων καὶ τόπων."

Ἀρχ. Ἀμαὶ πόλις ἡ νῦν Χρυσούπολις. Ἀπία ἡ νῦν Κορώνη. Ἀπολλωνία ἡ νῦν Ἱερισσὸς ἥτις καὶ Ὄλυνθος ἐλέγετο. Τέλ. Φωτικὴ ἡ νῦν Βελᾶ. Ἑλάδα ἡ νῦν ὀνομαζομένη Πελοπόνησος. Εὔβοια ἡ Εὔριππος.

49 (φ. 334 β). "Περὶ τῶν προφητῶν."

Ἕπονται α'. "Αἱ πληγαὶ τῆς Αἰγύπτου."—β'. "Περὶ τοῦ κατ εικόνα καὶ καθ' ὁμοίωσιν."—γ'. "Τῆς δὲ ψυχῆς ἀρεταὶ εἰσὶν δ'."

50 (φ. 335 α). Χρονολογικαὶ σημειώσεις περὶ Ἀπόκρεων.

51 (φ. 335 α). Χρονικαὶ σημειώσεις ἀπὸ Ἀδὰμ μέχρι Χριστοῦ.

52 (φ. 335 β). "Πολλαὶ διαφοραὶ παγανικῶν καὶ ἰδιοκτήτου πεκουλίου."

Ἕπονται καὶ ἄλλα βραχέα νομικὰ σημειώματα, ὧν μεταξὺ α'. "Τὰ ἑπτὰ κλίματα τῆς οἰκουμένης." —β'. "Τῶν ἑπτὰ σοφῶν τὰ ἀποφθέγματα."

53 (φ. 340 α). "Περὶ τῶν τῆς συγγενείας βαθμῶν ἐκ τοῦ τρίτου βιβλίου τῶν Ἰνστιτούτων."

54 (φ. 341 β). Περὶ ἀφθάρτου, φθαρτοῦ καὶ σώματος.

55 (φ. 342 α). "Ἔκθεσις διδασκαλικὴ νόμου. ἐκ τὸν **Ἁρμενοπούλου.**"

56 (φ. 342 β). "Τῶν βασιλικῶν ἀξιωμάτων."

57 (φ. 344 α). "Ἑρμηνεῖα τῶν ὀφφικίων τῆς ἁγίας καὶ μεγάλης ἐκκλησίας."

58 (φ. 347 α). "Τάξις πρωτοκαθεδρίας τῶν ὁσιωτάτων πατριαρχῶν."

59 (φ. 348). Περὶ διαφόρων ἐκκλησιαστικῶν θεμάτων ἀντιρρήσεις πρὸς Ἰουδαίους.

60 (φ. 349 α). "Τοῦ λογιωτάτου [Μιχαὴλ] Ψελλοῦ Περὶ λουετροῦ."

Ἀρχ. Πολλῶν τὸ λουτρὸν αἴτιον δωρημάτων.

61 (φ. 349 α). "Ἑρμηνεία περὶ τῶν στοιχείων."

Ἀρχ. Ἰστέον ὅτι διὰ τῆς ἀποψύξεως καὶ ὑποχωρίσεως τῆς τοῦ αἵματος θερμότητος ὁ χωρισμὸς τῆς ψυχῆς γίνεται.

62 (φ. 350 α). **Γρηγορίου τοῦ Θεολόγου.**

"Στίχοι...κατὰ ἀλφάβητον ψυχοφελεῖς."

63 (φ. 350 α). "Εἲ καλαὶ ἡμέραι εἰς φλεβοτομίαν τῶν ιβ΄ μηνῶν."

64 (φ. 350 β). "Ἐκ τῆς ἑρμηνείας τοῦ **μεγάλου Βασιλείου.**"

65 (φ. 351 α). "Παραβολαί."

66 (φ. 353 β). "Περὶ φίλων."

Ἀρχ. Στέργω, οἰκειοῦμαι, ὑπεραγαπῶ, ἐπιτηδείως ἔχω πρὸς αὐτόν.

Ἕπονται Γνῶμαι "Περὶ ἀσφαλείας," καὶ "Περὶ τύχης."

67 (φ. 354 β). "Ἐκ τῶν **Γνωμῶν Γρηγορίου τοῦ Θεολόγου.**"

Ἀρχ. Πιστὸν ἱκέτην καθ' ἑαυτὸν ἐπαίνει.
Τέλ. Κτῆμα τίμιον ἀνὴρ ἀγνεύων σῶμα.
Κρεῖσσων δὲ τυχὼν μιᾶς ἀνὴρ συζύγου·
ὁ γὰρ συμπλεκόμενος πολλαῖς ἀγέλαις
σύμμορφος ἐγένετο ὑῶν ἀγρίων.

68 (φ. 355 α). "Συλλογισμὸς πάνυ ὡραίως ὅτι διὰ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ἡμῶν πάντες ἐλευθερόθημεν τῶν τοῦ Ἅδου δεσμῶν."

Ἀρχ. Εἰ γὰρ ἡ ἁμαρτία τοῦ θανάτου ἰσχὺς, ὁ μὴ πταίσας πάντως θανάτου ἀνεύθυνος.

69 (φ. 355 β). "Κείμενον τοῦ Ψαλμοῦ ἀπὸ τοῦ Ἐπίστευσα διὸ ἐλάλησα."

70 (φ. 356 α). **Ἀδήλου Φυσικὰ κεφάλαια.**

α΄ (φ. 356 α). "Περὶ τοῦ πῶς ἵσταται ἡ γῆ μὴ κρατουμένη παρά τινος." Ἀρχ. Δεῖ γινώσκειν ὅτι ἡ γῆ μέσον τοῦ χάους ἔνι μὴ ἐγγίζουσα ποῦ.—β΄ (φ. 356 α). "Περὶ τῶν ιβ΄ μεγάλων ὀρέων τῆς γῆς."—γ΄ (φ. 357 β). "Περὶ τῶν ζ΄ κλιμάτων." Ἀρχ. Δεῖ γινώσκειν ὅτι εἰς ἑπτὰ μοίρας ἐστὶν ἡ γῆ μεμερισμένη.—δ΄ (φ. 357 β). "Περὶ τῶν θερμῶν ὑδάτων." Ἀρχ. Πολλοὶ τῶν σοφῶν πολλὰ διεσάφησαν καὶ οὐχ εὗρον τὴν ἀλήθειαν.—ε΄ (φ. 359 α). "Περὶ τῶν ἑπτὰ θαλασσῶν." Ἀρχ. Τέσσαρες θάλασσαι εἰσὶ μεγάλαι τῆς γῆς. Εἰσὶ δὲ αὗται. Τέλ. καὶ ἑνοῦται διὰ τῶν Βυζαντίων στενῶν μετὰ τῆς τρίτης θαλάσσης. Αὗται οὖν αἱ τέσσαρες θάλασσαι εἰσὶ καὶ οὐκ ἄλαι.—ϛ΄ (φ. 360 α). "Περὶ τοῦ Ὠκεανοῦ ποταμοῦ." Ἀρχ. Κύκλωθεν τῆς γῆς ἔστι ποταμὸς λεγόμενος Ὠκεανός· περικρατεῖ δὲ ὅλο τὸ πρόσωπον τῆς γῆς τὸ κύκλωθεν αὐτῆς.—ζ΄ (φ. 360 β). "Περὶ οὐρανοῦ." Ὁ οὐρανὸς δὲ κατὰ μὲν τὴν φύσιν εἷς ἐστιν, κατὰ δὲ τὰς ὑποστάσεις ἤγουν τὰς ζώνας ἐννέα οὐρανοί εἰσιν. Τέλ. καὶ οὕτως αὔξει καὶ ἐλαττοῦται ἡ σελήνη ὡς ἔφαμεν.—η΄ (φ. 364 β). "Περὶ τοῦ πῶς κρατεῖται ἡ σελήνη καὶ οὐ φωτίζεται." Ἀρχ. Τοῦ ἡλίου ἐν τῷ τετάρτῳ οὐρανῷ ὄντος, τῆς δὲ σελήνης ἐν τῷ κάτωθεν καὶ αὐτῆς ἐξ ἐκείνου φωτιζομένης ἐν τῷ τρίτῳ οὐρανῷ, μέσον ἡλίου καὶ σελήνης ἔστιν ἀστὴρ μέγας. Τέλ. ἐν ἄλλαις δὲ ἡμέραις αὐτῇ οὐ συμβαίνει τοῦτο, εἰ μὴ οὔσης αὐτῆς ιγ΄ εἴτε ιδ΄ ἢ ιε΄ ἢ ιϛ΄.—θ΄ (φ. 365 α). "Περὶ τοῦ πῶς κρατεῖται ὁ ἥλιος καὶ οὐ φωτίζεται." Ἀρχ. Ὁ δὲ ἥλιος μέγας ἦν οὐ δύναται ὁ ἀστὴρ ἐκεῖνος ἡ κεφαλὴ καὶ οὐρὰ μόνον κρατῆσαι αὐτόν. Τέλ. ἀλλὰ διὰ τὴν τότε γενομένην ἁμαρτίαν καὶ θαῦμα ἦν ἐκεῖνο καὶ οὐχὶ ὑπὸ τῶν πλανητῶν ὡς εἴπομεν.—ι΄ (φ. 365 α). "Περὶ τῶν τεσσάρων στοιχείων." Ἀρχ. Δεῖ γινώσκειν ὅτι τὰ τέσσαρα στοιχεῖα εἰσὶν τὰ συνιστῶντα τὸν κόσμον. Τέλ. ψεύδονται οἱ ταῦτα λαλοῦντες· οὕτως δὲ εἰσὶν ὡς εἴπομεν.—ια΄ (φ. 366 β). "Περὶ βροτῆς καὶ ἀστραπῆς." Ἀρχ. Τῶν νεφελῶν ἐπάνω πυκνουμένων καὶ ὑπὸ ἀνέμων βιαζομένων καὶ φερομένων ἔνθεν κἀκεῖθεν καὶ ὥσπερ πυμφιλίων γινομένων συναπτόμεναι ἀλλήλαις αἱ νεφέλαι καὶ προσκρουόμεναι κτύπον ἐπιτελοῦσι. Τέλ. ἐὰν κατέλθῃ ἐξ οὐρανοῦ πυρὸς κόμμα καὶ ἑνωθῇ μετὰ τῆς ἀστραπῆς οὐ παρευθὺς λοιοῦται, ἀλλὰ κατέρχεται πρὸς τὴν γῆν καὶ καίει εἴ τι ἄρα καὶ εὕροι καὶ λέγεται κεραυνός· οὕτως γίνεται ὁ κεραυνὸς ἀληθῶς.

71 (φ. 367 α). "**Ἱπποκράτους** Ἐπιστολὴ πρὸς Πτολεμαῖον ὄντα βασιλέα περὶ κατασκευῆς ἀνθρώπου."

Ἀρχ. Συνέστηκεν ὁ κόσμος ἐκ στοιχείων τεσσάρων, οἷον ἐκ πυρὸς, ἀέρος, ὕδατος, γῆς. Τέλ. καὶ διὰ τῶν σειρωτήρων τῶν ἀποκειμένων εἰς τὴν κύστιν, τουτέστιν εἰς τὴν φούσκαν, καὶ εἰσέρχεται εἰς τὴν κύστην τὸ ὕδωρ.

72 (φ. 368 β). "Περὶ τῶν αἰσθήσεων."

Ἀρχ. Αἰσθητήρια δέ εἰσι τῷ ἀνθρώπῳ ε΄ ὅρασι ἀκοὴ ὄσφρησις γεῦσης καὶ ἁφή. Τέλ. ταῖς δὲ γυναιξὶ προστίθεται καὶ δύο διὰ τοῦ γάλατος καὶ τῶν ἐμμήνων· τὸ δὲ γάλα ἐκ τοῦ αἵματος γεννᾶται.

73 (φ. 368 β). Βραχέα σημειώματα περὶ τῶν ὡρῶν τοῦ ἔτους καὶ περὶ ὀρνίθων.

74 (φ. 369 α). Περὶ τῶν παρ' Ἕλλησι γραμμάτων.

Ἀρχ. Οἱ Ἕλληνες οὐκ εἶχον γράμματα ἀλλὰ δια Φοινίκων γράμματα ἔγραφον τοὺς αὐτῶν ἑλληνικούς.

75 (φ. 369 α). Βραχέα χρονικὰ σημειώματα.

Ἀρχ. Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ εὑρέθη ἐν Θράκῃ κατὰ τὸ μακρὸν τεῖχος λάρνακι τίς ὀρίττων λιθίνη. Τέλ. Ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Δούκα ἐγένετο σεισμὸς μέγας κατὰ τὴν εἰκοστὴν τρίτην τοῦ Σεπτεμβρίου μηνὸς ὑφ' οὗ πολλαὶ οἰκεῖαι καὶ ναοὶ κατέπεσον· ὅτε καὶ τὸ κατὰ τὴν Κύζικον ἑλινικὸν κατέπεσε τέμενος καὶ ὁ ἐ Νικαίᾳ μέγιστος ναός.

76 (φ. 370 α). "Ἑρμηνεῖα περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων πῶς καὶ ποῦ γεγόνασιν καὶ ἐπὶ ποίων βασιλέων καὶ πόσων ἁγίων πατέρων."

Κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

77 (φ. 373 α). "Ἀποφθέγματα σοφῶν διαφόρων ὀφέλιμα."

Ἀρχ. Πᾶσα σοφία παρὰ Κυρίου καὶ μετ' αὐτῶν ἐστιν εἰς τοὺς αἰῶνας. Τέλ. (κολ.) Ποῦς μωροῦ ταχὺς εἰς οἰκίαν· ἄφρων ἀπὸ θύρας παρακύψει εἰς οἰκίαν, ὁ δὲ παιπεδευμένος ἔξω σοι...

Τὰ φ. 33 β καὶ 161 α ἄγραφα. Ἀλλ' ἐν τῷ φ. 33 β ἐνεγράφησαν "+Αἱ ἡμέρε τῆς σελῆνης ἡ καλὲς διὰ τὸ φλεμοτόμημα" καί τινες ἄσημοι εἰδήσεις, οἷαι καὶ ἀλλαχοῦ τῶν ἀγράφων μεινάντων μερῶν τοῦ κώδικος εὕρηνται ἐγκατεσπαρμέναι.

4213. 93. Χαρτ. 8. XVIII. (φ. 106).

1 (φ. 8 α). "Ἀνθολογία διαφόρων λέξεον κατ' ἀλφάβητον."

Ἀρχ. Ἀρχὴ τοῦ ἄλφα στοιχείου. Ἰησοῦ μου προηγοῦ καὶ φώτιζέ με. Ἀπατῶ πλανῶ παράγω ὑπάγω ἀποβουκολῶ διαβουκολῶ φενακίζω δελεάζω. Τέλ. ὡραῖος εὐπρόσωπος, εὐηδὴς...καλὸς τὴν μορφήν, ἄμαχος τὴν θέαν, τὸ κάλλος ἀνήκητος ἐφέλκεται καὶ τοὺς τῶν ἄλλων ὀφθαλμούς, οὐδὲν ἧττον εἰς κάλλος ἀνθεῖ.

2 (φ. 50 α). Ἀνέκδοτον περὶ Διονυσίου τοῦ τυράννου.

Ἀρχ. Διονύσιος ὁ τύραννος ὅς φασὶ κιθαροδοῦ τινος εὐδοκιμοῦντος ἀκούων ἐπηγγείλατο δωρεὰν αὐτῷ τάλαντον.

3 (φ. 50 α). **Ἀλεξάνδρου Μαυροκορδάτου** Ἐπιστολή.

"Ἀλέξανδρος ὁ ἐξ ἀπορρήτων Νικολάῳ τῷ υἱῷ ἀγαπητῷ αὐτοῦ." Ἀρχ. Τοῖς σοῖς ἐντετυχηκότι λατινικοῖς γράμμασιν ἥλατό μοι ἡ καρδία.

4 (φ. 51 α). "Ἀποσημειώσεις κανόνων κατ' ἐρωταπόκρισιν."

Τὸ ὑπ' ἀρ. 4 γέγραπται ἄλλῃ χειρί.

Πολλὰ φύλλα ἄγραφα ἢ κατὰ τὸ ἥμισυ μόνον γεγραμμένα. Ἐν δὲ τοῖς παραφύλλοις εὕρηνται διάφοροι γραμματικαὶ παρατηρήσεις, ὧν μεταξὺ καὶ τάδε· Οἱ πεσόντες ἐν τῷ τρωϊκῷ πολέμῳ ἀπὸ μὲν Ἑλλήνων 870000, ἐκ δὲ Τρώων 670006.

4214. 94. Χαρτ. 8 μικρ. XVIII. (σ. 130).

"**Μιχαὴλ πρεσβυτέρου καὶ συγγέλου** τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων Μέθοδος περὶ τῆς τοῦ λόγου συντάξεως· σχεδιασθεῖσα ἐν Ἐδέσῃ τῆς Μεσοποταμίας."

Ἀρχ. Ἐπειδὴ περὶ λόγου εἰπεῖν προεθέμεθα, δέον εἰδέναι πρῶτον ποσαχῶς ὁ λόγος εἴρηται· ἔστι γὰρ ὁμώνυμος φωνὴ κατὰ πολλῶν σημαινομένων φερομένη. Τέλ. Καὶ τουτὶ μέχρι τοῦδε ἔχεις βραχύτατον καὶ συντομώτατον περὶ τῆς συντάξεως δίδαγμα μηδὲν ἐλλειπὲς ἔχον τῆς ἡμετέρας πρὸς σὲ ἀγαπήσεως σημεῖον, ἀλλὰ καὶ λίαν ἀκραιφνὲς γνώρισμα τυγχάνον τῆς ἡμῶν πρὸς σὲ σχέσεως, ὦ φίλον ἄριστον μειράκιον.

Ἐν ἀρχῇ φύλλα τινὰ ἄγραφα, ἐν οἷς ἔμελλε γραφῆναι τὸ λεῖπον Προοίμιον πρὸς Λάζαρον. Ἴδ. ἀρ. 4216 (96), 5.

4215. 95. Χαρτ. 16. XVIII. (φ. 274).

1 (φ. 6 α). **Ἀλεξάνδρου Μαυροκορδάτου.**

"Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ πασῶν τῶν ἐπιστημῶν διδασκάλου ἰατροῦ τε ἀρίστου κυρίου **Ἀλεξάνδρου** τοῦ δραγομάνου Περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου."

"Κεφ. α'. Περὶ τῶν προτακτικῶν ἄρθρων." Ἀρχ. Χρώμεθα τοῖς προτακτικοῖς ἄρθροις εἰς δήλωσιν ὡρισμένου τινὸς πράγματος.

2 (φ. 70 α). "Γραμματικὴ συντεθεῖσα **παρὰ τοῦ σοφωτάτου Θεοδώρου** τοῦ ἐπίκλησιν ἔχοντος **Πτωχοπροδρόμου.**"

Ἀρχ. Καθάπερ τὸ ἀνθρώπινον σῶμα φιλολογωτάτη μοι βασιλίδων.

Ἴδ. καὶ 4203 (83), 6. 4216 (96), 3. 4267 (147), 11.

3 (φ. 173 α). "Κανὼν περὶ ἀντιστοίχων **Θεοδώρου τοῦ Πτωχοπροδρόμου** κατὰ ἀλφάβητον."

Ἀρχ. Ἀναφὴς καὶ ἄκτιστος. Ἴδ. καὶ 4210 (90), 2.

4 (φ. 175 β). [**Τοῦ αὐτοῦ**] "Ἕτερος κανὼν περὶ ἀντιστοίχων κατὰ ἀλφάβητον."

Ἀρχ. Ἀεὶ τὸ ἐπίρρημα. Ἴδ. καὶ 4210 (90), 3.

5 (φ. 179 α). "**Κυροῦ Γεωργίου τοῦ Ζηγαβινοῦ** Περὶ τῶν ἑπτὰ φωνηέντων καὶ περὶ ἀντιστοίχων."

Ἀρχ.

Βούλομαι φίλε πρὸς μικρὸν ὧδε σοι σαφηνίσαι.

Τέλ.

Τὸ δέ γε πάλιν κλητικὸν τοῦτο ἀεὶ περίσπα.

Ἴδ. καὶ 4210 (90), 5.

6 (φ. 184 β). "**Τοῦ αὐτοῦ διδασκάλου** Πρὸς τὸν ἑαυτοῦ μαθητὴν πληροφορικὴ διδασκαλία, ἀποσταλεῖσα εἰς μάθησιν τῶν ἀντιστοίχων."

Ἀρχ.

Ἀπάρτι, φίλε, γράφω σοι λέξεις τῶν ἀντιστοίχων.

Τέλ.

Σὺ παντελῶς μὴ ἀμελῇς ὅπως γνωρίσῃς ταῦτα
καὶ λάβῃς γνῶσιν ἀκραιφνῆ γράφειν ἐπισταμένως.

Ἴδ. καὶ 3225 (152), 3.

7 (φ. 194 β). "Ἐπιστολὴ **τοῦ αὐτοῦ διδασκάλου** Πρὸς τὸν ἑαυτοῦ μαθητὴν τὸν καθοδηγούμενον ταύτας τὰς λέξεις."

Ἀρχ.

Φίλε ἀρκεῖ σοι ἐνταυθὶ τὸ ὕφος τῶν γραφέντων.

Τέλ.

Ἕως ταυθί σοι ἔληξα τὸν στίχον μετριάζων κτλ.

Ἴδ. καὶ 3225 (152), 4.

8 (φ. 197 α). "Συναγωγὴ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν ὁ ἐν ἁγίοις **Γρηγόριος ὁ Θεολόγος** εἰς τὸ Πάλιν Ἰησοῦς ὁ ἐμός."

9 (φ. 221 α). "Περὶ τοῦ τί ἐστὶ γραμματικὴ καὶ εἰς πόσα διαιροῦνται τὰ εἰκοσιτέσσαρα γράμματα."

Ἀρχ. Γραμματικὴ ἐστὶ τέχνη τοῦ ὀρθῶς νοεῖν, λέγειν καὶ γράφειν διδακτική.

10 (253 α). "Φρασάριον. Ἀρχὴ τοῦ ἄλφα."

Ἀρχ. Ἀρχίζω ἀρχὴν ποιοῦμαι τοῦδε τοῦ ἔργου, ἐνίσταμαι. Τέλ. Αἰσθήσεως. Τὴν αἴσθησιν ἀποβάλλειν τῶν ἁμαρτημάτων...λάβωμεν αἴσθησιν τῆς ἀτιμίας.

4216. 96. Χαρτ. 16. XVII. (φ. 297).

1 (φ. 1 α). "Εἰςαγωγὴ εἰς τὴν γραμματικὴν ἐπιτὸμώτερον ἐκδοθεῖσα καὶ σαφυ (sic) παρα τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ **Ματθαίου τοῦ Καμαριώτου** περὶ τῶν στοιχείων τοῦ λόγου ἤτοι τῶν γραμμάτων."

2 (φ. 133 α). "Διά του τιμιωτάτου καὶ σοφωτάτου κῦρ **Δημητρίου τοῦ Σγουροπούλου.**"

Ἀρχ. [Τ]ί ἐστιν ἐπίρρημα· μέρος λόγου ἄκλητον μετὰ ῥήματος λεγόμενον.

3 (φ. 142 α). [**Θεοδώρου τοῦ Προδρόμου**] Γραμματική.

Ἀρχ. [Κ]αθάπερ τὸ ἀνθρώπινον σῶμα.

Τέλ. Ἐνταῦθα τέρμα τοῦ σοφοῦ Θεοδώρου
σύνταγμα χειρὸς τλήμονος (sic)
φίλων ἀρίστ' εὕρηκε τουτί τ' ὦ φίλε.

Ἴδ. καὶ 4203 (83), 6. 4215 (95), 2. 4267 (147), 11.

4 (φ. 238 α). Γραμματικὰ ἀνεπίγραφα.

Ἀρχ. (ἀκέφ.)....ἐν φίλοις· χαρακτῆρι γὰρ τοιαῦτα ὑπερθετικὰ οὐ μέντοι σεμνυνομένῳ ὑπερέχουσι, τινὰ δὲ καὶ ἴσῳ λόγῳ παραλαμβάνετε. Τέλ. καὶ ἄμφω τρέχουσι καὶ χρώμεθα πολλάκις τῷ πληθυντικῷ ἀριθμῷ ἀντὶ δοτικῆς.

5 (φ. 246 α). "Ἀρχὴ σὺν Θεῷ ἁγίῳ

Περὶ τῆς τοῦ λόγου συντάξεως διαπονηθεῖσα παρὰ **Μηχαὴλ πρεσβυτέρου καὶ συγγέλου** τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων σχεδιασθεῖσα ἐν Ἐδέσῃ πόλει τῆς Μεσοποταμίας αἰτήσεις Λαζάρου διακόνου φιλοσόφου καὶ λογοθέτου."

Προτάσσεται "Προοίμιον." Ἀρχ. Ἡ περὶ τῆς τοῦ λόγου διδασκαλία πολλή τε καὶ βαθεῖα καθέστηκε φιλομαθέστατε Λάζαρε.

Ἴδ. καὶ 4214 (94).

4217. 97. Χαρτ. 16. XVII. (φ. 96).

"Περὶ ὅρου καὶ διαιρέσεως καὶ ἐτυμολογίας

τῶν ὀκτὼ τοῦ λόγου μερῶν καὶ ἑτέρων τινῶν ἀναγκαίων ἐκλεγέντων ἐκ τῶν παλαιῶν καὶ νέων γραμματικῶν παρὰ **Μητροφάνους μοναχοῦ** πρὸς εἴδησιν σαφεστέραν τῶν ἐντυγχανόντων σπουδαίων."

Ἀρχ. "Περὶ γραμματικῆς." Γραμματική ἐστι τέχνη διδάσκουσα ἡμᾶς τὰ νοούμενα γράφειν.

Ὁ κῶδιξ μένει κολοβός.

***4218.** 98. Χαρτ. 16. XVII. (φ. 171).

Ἰωαννικίου καὶ Σωφρονίου τῶν Λυκουδίων.

α' (φ. 3 α). "Εἰς δόξαν Κυρίου ἀμὴν περὶ ποιητικῆς εἴτε μετρικῆς τέχνης συντεθείσης τε καὶ διαιρεθείσης εἰς δύο βιβλία παρὰ τῶν λογιωτάτων καὶ σοφωτάτων διδασκάλων καὶ θεολόγων τῆς ἀνατολικῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κυρίου **Ἰωαννικίου καὶ Σωφρονίου** αὐταδέλφων **τῶν Λυκουδίων** ἀπὸ τῆς περιφήμου νήσου Κεφαληνίας."—β' (φ. 72 α). "Εἰς δόξαν Κυρίου ἀμὴν ͵αχπζ' Ἰουνίου. Χάριν παράσχου Τριὰς τοῖς ἐμοῖς πόνοις. Περὶ τῆς τῶν ἐπιστολῶν χαρακτήρων μεθόδου κατ' ἐρώτησιν καὶ ἀπόκρισιν, Συντεθείσης τε καὶ διαιρεθείσης εἰς τρία βιβλία παρὰ τῶν λογιωτάτων καὶ σοφωτάτων διδασκάλων καὶ θεολόγων τῆς ἀνατολικῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κυρίου **Ἰωαννικίου καὶ Σωφρονίου** αὐταδέλφων **τῶν Λυκουδίων** ἀπὸ τῆς περιφήμου νήσου Κεφαληνίας."

Κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων.

4219. 99. Χαρτ. 16. XVI. (φ. 106).

"Ἀρχὴ σὺν Θεῷ περὶ ἐρωτημάτων

ἃ καὶ διὰ τοῦ σοφωτάτου κυροῦ **Μανουὴλ τοῦ Μοσχοπούλου** ἐδιορθώθη..."

Ἐν τοῖς πρώτοις καὶ τελευταίοις φύλλοις διάφορα ἀνάξια λόγου, ἐν οἷς καὶ Λεξιλόγιον ἑλληνορωμαιουνικὸν καὶ Λέξεις νεοελληνικαὶ διὰ λατινικῶν χαρακτήρων γεγραμμέναι.

Ἐν φ. 101 β· Τὸ βιβλαρίδιον τουτοῒ ὅπέρ ἐστι τεχνολογία ὠφέλημος τῆς γραμματικῆς τοῦ **Μοσχοπούλου** ὃ καὶ ἐσυνεγράφθη ὑπ' ἐμοῦ τοῦ ἐν πᾶσιν ἐλαχίστου **Ἰωάννου ἀναγνώστου** ἐκ κώμης Τριαντῶν τῆς Ῥόδου ἐν αὐτῇ τῇ κώμῃ καὶ ἐτελειώθη κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν ἐνενηκοστὸν ἕκτον ἔτος τὸ σωτήριον ἐν μηνὶ Ἀρτεμισίῳ (=1596) δύο πρὸς τοῖς εἴκοσι κατεπειγομένης τῆς ἡμέρας....

4220. 100. Χαρτ. 16. XVI. (φ. 131).

1 (φ. 1 α). Βαθμολόγιον συγγενείας κατὰ τοὺς νομοκάνονας.

2 (φ. 9 α). Τροπάρια καὶ Εὐχαί.

3 (φ. 13 α). Λογιστική.

α' (φ. 13 α). "Κῦρ **Μανουὴλ** τοῦ μακαρίτου **Παλαιολόγου.**" Ἀρχ. Οἱ τὴν λογιστικὴν μετιέναι βουλόμενοι εἰδέτωσαν ὅτι μικρά τε σχέδη μεγάλα μανθάνειν χρεὼν ἐν ἕξει τε ἔχειν ὡς οἷόν τε.—β' (φ. 13 β). "Πολλαπλασιασμὸς ἁπλός."—γ' (φ. 14 β). "Σύναψις ἐμμερισμῶν ἁπλῶς."—δ' (φ. 16 α). "Μερισμὸς ἁπλός."—ε' (φ. 16 β). "Κατὰ φαντασίαν πολλαπλασιασμός." Τελ. (κολ.) ἐν φ. 33 β· τούτων δὲ πλειόνων ὄντων τῶν γγ ὑπογράψωμεν καὶ αὐτοῖς ἐλάττοσιν οὖσιν καὶ ποιήσωμεν... Εἰς ταῦτα προστέθεινται κατωτέρω καὶ ἄλλα νεώτερα, οἷον φ. 34 α· "Ἰδοὺ ἕτερον μοντιπηκὰρ ἤγουν πολυπλασιασμὸς καὶ λέγεις ἀγοράζω ζάχαριν...", φ. 69 α· "καρδάρα ἢ τὸ μόδι ἢ τὸ κυλὸν χρήζει ἄσπρα ιδ'," φ. 119 α· "Ἡ ῥέουλα τὸν τρίον· θετέον λέγωμεν ἐὰν τὰ ιϛ' μᾶς ἔδωσαν α' τὰ ζ' τή μας θέλουν δώσει;" Μεταξὺ δὲ τούτων·

4 (φ. 92 β). Πίνακες βαθμολογίου συγγενείας.

5 (φ. 102 α). Περὶ γάμου ἐκ τοῦ νομοκάνονος.

4221. 101. Χαρτ. 16. XVIII. (φ. 143).

1 (φ. 1 α). "Ἐκ τῶν μαθημάτων ὧν μοι παραδέδωκεν

ὁ καθηγητὴς **Σταμάτιος Παπᾶς** καὶ τουτὶ τὸ πόνημα τῆς Χρηστοηθείας κατὰ τὸ ͵αψνα' ἔτος ἀπὸ τῆς ἐν ἐνσάρκου τοῦ Χριστοῦ οἰκονομίας."

"Κεφ. αον." Οὐ μόνον εὐσεβὲς κατὰ τὸν Θεολόγον ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι, ἀλλὰ καὶ τῷ λυσιτελέστατον.

2 (φ. 52 α). "Εἴδη ἐπιστολῶν."

3 (φ. 74 α). "Τὰ ἔξω τῶν εἰδῶν καὶ τὰ κατ' εἶδος

θέματα ἅ μοι παραδέδωκεν ὁ διδάσκαλός μοι **Σταμάτιος Παπᾶς.**"

4. (φ. 130 α). "Ὁ παρὼν οὗτος Κανὼν

τῆς τοῦ Κυρίου ἡμῶν ἀναστάσεως ποίημα μὲν ἐστὶν **Ἰωάννου τοῦ Δαμασκηνοῦ** ἐξήγησις δὲ τοῦ διδασκάλου τε καὶ ἱεροκήρυκος τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ τῆς ἐν Ἀδριανουπόλει ἑλληνικῆς σχολῆς γυμνασιάρχου τοῦ καὶ ἡμετέρου καθηγητοῦ **Σταματίου τοῦ Παπᾶ.**"

Ἡ ἐξήγησις διάστιχος.

5 (φ. 142 β). "Μῆνες Ἀθηναίων."

4222. 102. Χαρτ. 4. XVIII. (φ. 123).

1 (φ. 1 α). **Θεοφίλου τοῦ Κορυδαλέως** Ῥητορικὴ τέχνη.

2 (φ. 86 α). "Διδασκαλία περὶ τοῦ ἀκραιφνοῦς τρόπου τοῦ διδάσκειν τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον, ἐκδοθεῖσα παρὰ **Γερασίμου Βλάχου** τοῦ Κρητός."

Διῄρηται εἰς κεφάλαια η'. Ἴδ. καὶ 4229 (109), 2.

3 (φ. 108 α). "Ἰσαὰκ μοναχοῦ **τοῦ Ἀργυροῦ** Μέθοδος κατασκευῆς ἀστρολαβικοῦ ὀργάνου."

Ἀρχ. Ἐπεὶ καθάπέρ τινας ἀρχετύπους πίνακας χρεὼν ἡμῖν τὰ τῶν διδασκάλων ἔργα καὶ τοὺς λόγους μιμεῖσθαί τε καὶ ταῖς εὖ ἐχούσαις ἐκείνων ἀκολουθεῖν παραδόσεσιν. Τέλ. ἀξιοῦμεν δὲ τοὺς ἐντυγχάνοντας ὑπὲρ μὲν τῶν καλῶς εἰρημένων τὴν αἰτίαν ἀναφέρειν Θεῷ, ὑπὲρ δὲ τῶν μὴ καλῶς τὰς μέμψεις ἡμῖν ἢ συγγνωμονεῖν εἰδότας ὡς ἀγαπητὸν καὶ τὸ ἐφ' ὁσονοῦν τῶν τοιούτων ἐπιτυχεῖν.

4 (φ. 113 β). "**Ἰωάννου γραμματικοῦ** Ἀλεξανδρέως **τοῦ Φιλοπόνου** Περὶ τῆς τοῦ ἀστρολάβου χρήσεως."

Ἀρχ. Τὴν ἐν τῷ ἀστρολάβῳ τῆς ἐπιφανείας τῆς σφαίρας ἐξάπλωσιν καὶ τῶν ἐν αὐτῷ καταγεγραμμένων τὰς αἰτίας τήν τε χρείαν αὐτοῦ εἰς πόσα τε καὶ ποῖα καθέστηκε χρήσιμος ὡς ἂν οἷός τε ὦ σαφῶς ἐκθεῖναι πειράσομαι. Τέλ. εἰσόμεθα πότερα νοτιωτέρα ἐστὶν ἡ ἀπὸ τοῦ ἰσημερινοῦ κατὰ πλάτος ἀπόστασις ἢ βορειοτέρα καὶ πόσαις τούτου μοίραις διέστηκεν ἐπὶ θάτερα.

5 (φ. 121 β). "Ἑτέρα μέθοδος **ἀνωνύμου** περὶ τοῦ ἀστρολάβου."

Ἀρχ. Εἰ βούλει γινώσκειν τὴν τοῦ ἀστρολάβου μέθοδον μετέρχου ταύτην τόνδε τὸν τρόπον. Τέλ. μετὰ δὲ τὸ εὑρεῖν τὸ ὕψωμα εὑρήσεις καὶ τὰς ιβ' οἰκοδεσποτείας καὶ ἐμβιβάσεις καὶ ἐν αὐταῖς τοὺς πλανήτας εἰς τοὺς οἰκείους τόπους καθὼς πρότερον ἐδιδάξαμεν.

Ἐν τῷ μεταξὺ πολλὰ φύλλα ἄγραφα.

4223. 103. Χαρτ. 8 μέγ. XVIII. (φ. 96).

"Περὶ ῥητορικῆς τέχνης σύντομος παρὰ **Γερασίμου [Βλάχου]** ἱερομονάχου τοῦ Κρητός."

Διῄρηται εἰς βιβλία τρία. "Βιβλίον α' κεφ. α'. Περὶ ἐτυμολογίας εὑρέσεως ὁρισμοῦ ἐργασίας καὶ τέλους τῆς ῥητορικῆς." Ἀρχ. Τὸ τῆς ῥητορικῆς ὄνομα προσήκουσαν τὴν ἐτυμολογίαν κέκτηται. Τέλ. τῆς ὅλης συγγραφῆς· Ἔτι ἐπιείκειαν καὶ συμπάθειαν ἐπικλητέον· ὧν τά τε ὑποδείγματα ἀκραιφνῆ καθέστηκε παρὰ Δημοσθένει, Αἰσχίνῃ, Σωκράτει, Θουκυδίδῃ καὶ τοῖς ὁμοίοις. Τέλος τοῦ γ' καὶ ὑστάτου τῆς ῥητορικῆς.

4224. 104. Χαρτ. 4. XVIII. (φ. 94).

Ἀδήλου Ῥητορικὴ κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

Διῄρηται εἰς βιβλία τρία. Ἀρχ. Ἐρώτ. Τί ἐστὶ ῥητορική; Ἀπόκρ. Ῥητορικὴ ἐστὶ τεχνικὴ δύναμις λόγων πιθανῶν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν. Τέλ. Καὶ περὶ μὲν τῆς ῥητορικῆς ἁπάσης τοσαῦτα ἐστὶν ἐν ἐπιτομῇ τῶν τὴν εὐφυΐαν κεκτημένων· ὑμῖν δὲ ἐστὶ τὴν ὀλιγοστὴν ταύτην μάθησιν διὰ συνεχοῦς ἀσκήσεως αὐξῆσαι καὶ μεγίστην δεῖξαι τὴν ῥητορικὴν τελειότητα.

4225. 105. Χαρτ. 8. XVIII. (φ. 277).

1 (φ. 2 α). **Ἀγαπητοῦ διακόνου** Κεφάλαια παραινετικά.

2 (φ. 17 α). "Βίος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ἐπισκόπου Ναζιανζοῦ συγγραφεὶς ὑπὸ **Γρηγορίου πρεσβυτέρου**."

3 (φ. 71 α). **Γρηγορίου τοῦ Θεολόγου** Εἰς τὴν βραδυτῆτα.

4 (φ. 82 α). Ἐγκώμια.

α' (φ. 82 α). "Ἐγκώμιον εἰς τὰ Θεοφάνια." Ἀρχ. Ὁ διὰ πλοῦτον φιλανθρωπίας ἀνεκδιήγητον οὐκ ἀπαξιώσας δούλου μορφὴν ἐνδύσασθαι.—β' (φ. 83 β). "Ἐγκώμιον εἰς τὴν Χριστοῦ γέννησιν." Ἀρχ. Τοῦτο ἐκεῖνο τὸ Ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.—γ' (φ. 84 β). "Ἐγκώμια ἕτερα εἰς τὴν Χριστοῦ γέννησιν." Ἀρχ. Ὁ δι' οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον κενώσας κόλπον τὸν πατρικόν.—δ' (φ. 85 α). "Ἐγκώμιον εἰς τὴν Χριστοῦ γέννησιν." Ἀρχ. Ἀκένωτος ὁ ὠκεανὸς τῆς πρὸς ἡμᾶς σου ἀγάπης φιλάνθρωπε δέσποτα.

5 (φ. 87 α). "**Λουκιανοῦ Σαμοσατέως** Περὶ ἐνυπνίου."

6 (φ. 96 α). "**Τοῦ αὐτοῦ Λουκιανοῦ** Δίκη φωνηέντων."

7 (φ. 112 α). **Γρηγορίου τοῦ Θεολόγου** Τετράστιχα ἀνεπίγραφα.

8 (φ. 128 α). Τροπάρια.

9 (φ. 152 α). "Κανὼν εἰς τὴν Κυριακὴν τοῦ Θωμᾶ ποίημα **Ἰωάννου** μοναχοῦ" [**τοῦ Δαμασκηνοῦ**].

10 (φ. 258 α). **Βασιλείου τοῦ μεγάλου** "Λόγος εἰς Βαρλαὰμ μάρτυρα."

Ἅπαντα πλὴν τῶν ὑπ' ἀρ. 4 μετὰ διαστίχου ἐξηγήσεως.

4226. 106. Χαρτ. 8. XVIII.

"Λευχειμονοῦσα ῥητορικὴ εἴτουν **Ἀφθονίου** προγυμνάσματα ἐκ τῆς Λατίνων ἀνθολογηθέντα φωνῆς καὶ ἐν ἑλληνικῇ διαλέκτῳ ὑποστρωθέντα σπουδῇ καὶ πόνῳ **Ἀναστασίου Παπαβασιλοπούλου** τοῦ ἐξ Ἰωαννίνων ἐν τῇ κωμοπόλει Τουρνάβῳ τῆς Θετταλίας διατρίβοντος χάριν τῶν ὑπ' αὐτοῦ διδασκομένων πρωτοπείρων μαθητῶν κατὰ τὸ ͵αψβ' ἔτος Ἀπριλλίου ιγ'."

Προτάσσονται α' (φ. 1 α). "**Ἰακώβου ἱεροδιακόνου τοῦ Κυπρίου** Ἐπιγράμματα εἰς τὴν βίβλον."—β' (φ. 1 β). Ἀφιέρωσις "Τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ μητροπολίτῃ τῆς ἁγιωτάτης μητροπόλεως Λαρίσσης."—γ' (φ. 2, β). "Προοίμιον ἐκ τοὺς ἀκροατὰς τῆς βίβλου."

4227. 107. Χαρτ. 8. XVIII.

1. "Σύνοψις τῆς ῥητορικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν."

Ἀρχ. Δ[ιδάσκαλος]. Πόθεν ῥητορική, ὦ παῖ; Μ[αθητής]. Παρὰ τοῦ ῥέω ῥήματος, ἐξ οὗ ῥῆσις, ῥήτωρ καὶ ῥητορική. Τέλ. καὶ ἐκ τῆς διαβολῆς τῶν ἀντιδίκων ἐν τῷ κατὰ Μειδίου λόγῳ ὁ ῥήτωρ προοιμιάζεται Τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν ὕβριν.

2. "Περὶ ῥητορικῆς τέχνης σύντομος παράδωσις παρὰ τοῦ πανιερωτάτου καὶ σοφωτάτου μητροπολίτου Φιλαδελφίας κυρίου **Γερασίμου Βλάχου** τοῦ Κρητός."

Μεταξὺ τῶν ὑπ' ἀρ. 1 καὶ 2 φύλλα ἄγραφα.

4228. 108. Χαρτ. 8. XVIII.

"**Σωφρονίου ἱερομονάχου Λυκουδίου** τοῦ Κεφαλυνέως φιλοσοφίας τε καὶ ἱερᾶς θεολογίας διδα-

σκάλου τὸ νέον τε τῆς Μοσκοβίας λύκειον ἐν διδασκαλίᾳ λαμπρίνοντος Περὶ ῥητορικῆς δυνάμεως ἤτοι περὶ ῥητορικῆς θείας τε καὶ ἀνθρωπίνης βιβλία τρία."

ἀμήν.—γ′ (φ. 104 β). "*Διδασκαλία παραινετικὴ πρὸς τὰ ἐπερχόμενα καὶ συμπίπτοντα τοῖς ἀνθρώποις διὰ τὰς ἁμαρτίας.*" Ἀρχ. *Οἱ τῶν προφητῶν ἀγαπητοὶ ἀδελφοὶ λόγοι καὶ αἱ τούτων προρρήσεις, οὐ τῆς αὐτῶν διανοίας εἰσὶ γεννήματα ἢ ἀναπλάσματα, ἀλλὰ τοῦ δι' αὐτῶν λαλήσαντος θείου πνεύματος λόγια.* Τέλ. *καὶ οὐ τῆς ἡμετέρας ταύτης γῆς περιγενόμεθα μόνον, ἀλλὰ καὶ τῶν πραέων κληρονομήσομεν· φημὶ δὴ τῶν μακαρίων ἐκείνων τρυφὴν καὶ ἀκήρατον χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.*—δ′ (φ. 112 β). "**Τοῦ αὐτοῦ** *Ὁμιλία εἰς τὸ ῥητὸν τοῦ θείου Δαβὶδ τὸ Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος.*" Ἀρχ. *Εὔκαιρον ἂν εἴη καὶ ἡμᾶς ἀγαπητοὶ ἀδελφοὶ σήμερον εἰπεῖν μετὰ τοῦ Ψαλμῳδοῦ τὸ Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος.* Τέλ. *ἵνα καὶ τῆς σωτηρίας ἡμῶν ἐπιτύχωμεν τῆς τε ἐνεστώσης καὶ τῆς μελλούσης· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει....*—ε′ (φ. 117 α). "**Τοῦ αὐτοῦ** *Διδασκαλία δευτέρα λόγος ε*[ος]." Ἀρχ. *Ὁρῶν ἀγαπητοὶ ἀδελφοὶ καὶ κατὰ νοῦν φέρων τὴν πρὸς ἡμᾶς ἐπερχομένην καθ' ὥραν ῥομφαίαν καὶ τὰς συχνὰς καὶ ἀλλεπαλλήλους τῶν συμφορῶν δεινὰς περιστάσεις ἐπεγειρομένας ὡς ἄγρια κύματα καθ' ἡμῶν, ἀπορίᾳ περιπίπτω καὶ καθάπαξ ἀμηχανῶ.* Τέλ. *ὅπως καὶ τὰς εὐχαριστηρίους αὐτῷ ᾠδὰς ἀναπέμψωμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν....*—ϛ′ (φ. 122 β). "**Τοῦ αὐτοῦ** *Διδασκαλία τρίτη.*" Ἀρχ. *Ἔδει μὲν ἡμᾶς, ἀγαπητοὶ ἀδελφοί, ἑτοίμους εἶναι πρὸς τοὺς ἐπερχομένους ἡμῖν πειρασμούς.* Τέλ. *καὶ ἐμφορηθῶμεν τοῦ δευτέρου πλούτου καὶ τῆς δόξης Ἰὼβ ἐν τῷ παρόντι, ἐν δὲ τῷ μέλλοντι κληρονόμαι γενώμεθα τῆς τοῦ Χριστοῦ βασιλείας χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ πρέπει....*—ζ′ (φ. 127 β). "**Τοῦ αὐτοῦ** *Διδασκαλία τετάρτη περὶ φόβου.*" Ἀρχ. *Πλεῖστα μὲν ἀγαπητοὶ ἀδελφοὶ καὶ διάφορα τὰ τῆς ἀρετῆς ἔργα καὶ ἅμα ποικίλα καὶ ἀξιάγαστα· κεφάλαιον δὲ τούτων καὶ οἱονεὶ κορωνὶς ὁ τοῦ Θεοῦ φόβος καθέστηκε.* Τέλ. *ταῦτα γὰρ ποιοῦντες ἀγαπητοὶ οὐ μόνον τῶν παρόντων ἀνιαρῶν ἐλευθερωθείημεν, καὶ τῆς δεινῆς ταύτης αἰχμαλωσίας, ἀλλὰ καὶ τῆς βασιλείας αὐτοῦ κληρονόμοι γενώμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ....*—η′ (φ. 133 β). "**Τοῦ αὐτοῦ** *Διδασκαλία πέμπτη περὶ εὐταξίας κλήρου.*" Ἀρχ. *Τὸ τῆς εὐταξίας μέγα χρῆμα ἀγαπητοὶ ἀδελφοὶ οὐ μόνον τῇ ἐκκλησίᾳ Θεοῦ προσήκει ὥσπέρ τις δεσμὸς ἄρρηκτος ἀλλὰ καὶ τοῖς ἔξωθεν φημὶ δὴ τοῖς ἐν τῷδε τῷ βίῳ ἀναστρεφομένοις ἀσφαλῶς συνέχει τὰ πράγματα, καὶ περισφίγγει ὡς σχοῖνος χρυσοειδής.* Τέλ. *ἵν' ἐν τούτῳ καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀθανάτου δόξης ἐπιτύχοιτε τῆς εκκλησίας ἐκείνης τῶν πρωτοτόκων τῆς ἀτελευτήτου καὶ ἀθανάτου χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα....*—θ′ (φ. 138 β). "**Τοῦ αὐτοῦ** *Διδασκαλία περὶ δικαιοκρισίας.*" Ἀρχ. *Τί δ' ἂν εἴπω ἢ τί λαλήσω πρὸς τὸν κολοφῶνα τῆς ἀδικίας· ὅστις ἐβασίλευσε σήμερον καὶ κατεσθίει σφοδρῶς καὶ λιμαίνεται τὸ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων συνάθροισμα.* Τέλ. *ἀλλὰ μετὰ τοῦ προσανέχειν Θεῷ καὶ ὑπηρετεῖσθαι αὐτῷ νυκτὸς καὶ ἡμέρας, δεῖ καὶ τῆς ἀληθοῦς ἀντιποιεῖσθαι κρίσεως· ἵνα καὶ τῶν αἰωνίων καὶ ἀκηράτων ἐπιτύχητε ἀγαθῶν χάριτι....*—ι′ (φ. 145 α). "**Τοῦ αὐτοῦ** *Διδασκαλία περὶ τῆς προσκυνήσεως τοῦ Σταυροῦ.*" Ἀρχ. *Ἰδοὺ πάλιν ἑορτὴ καὶ πάλιν πανήγυρις ἐπέλαμψε σήμερον διὰ τῆς τοῦ Σταυροῦ προσκυνήσεως.* Τέλ. *ἵνα γαλήνιον καὶ εἰρηνικὸν διάγοντες βίον ἡμῶν δοξάζωμεν τὸν ὑπὲρ ἡμῶν σταυρωθέντα Χριστὸν σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ζωοποιῷ καὶ παναγίῳ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*—ια′ (φ. 154 α). "**Τοῦ αὐτοῦ** *Διδασκαλία εἰς τὴν Κυριακὴν μετὰ τῆς Σταυροῦ προσκυνήσεως.*" Ἀρχ. *Ἐπειδὴ τῇ παρελθούσῃ Κυριακῇ περὶ τοῦ ζωοποιοῦ Σταυροῦ τὸν λόγον ἐποιησάμεθα πρὸς τὴν ὑμετέραν ἀγάπην.* Τέλ. *νηστείας φημὶ καὶ ἐλεημοσύνης· ἵνα καὶ τῶν αἰωνίων καὶ τῶν ἀκηράτων ἀγαθῶν κληρονόμοι γένησθε ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν μεθ' οὗ τῷ πατρὶ πρέπει δόξα τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας αἰώνων ἀμήν.*—ιβ′ (φ. 162 α). "**Τοῦ αὐτοῦ** *Ὁμιλία εἰς τὴν πέμπτην Κυριακὴν τῶν νηστειῶν.*" Ἀρχ. *Πάλιν ἑτέραν ὁδὸν εἰσάγει ἡμῖν ὁ λόγος ἀγαπητοί· πέμπτην ἀνάβασιν, κατὰ τὴν πέμπτην ἑβδομάδα τῶν νηστειῶν.* Τέλ. *καὶ κληρονόμοι ἐντεῦθεν γενόμεθα τῆς μακαρίας ἐκείνης καὶ ἀλήκτου χαρᾶς τε καὶ βασιλείας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ....*—ιγ′ (φ. 167 β). "**Τοῦ αὐτοῦ** *Ὁμιλία εἰς τὴν* [ϛ′] *Κυριακὴν ἤτοι τῶν Βαΐων.*" Ἀρχ. *Ἐπειδὴ τῇ παρελθούσῃ Κυριακῇ περὶ τῶν πέντε τοῦ σώματος αἰσθήσεων τὸν λόγον ἐποιησάμεθα πρὸς τὴν ὑμετέραν ἀγάπην.* Τέλ. *ἀλλὰ καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀθανάτου δόξης· φημὶ δὲ τῆς κοινῆς ἀναστάσεως· ἐν ᾗ ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος· χάριτι....*—ιδ′ (φ. 174 α). "**Τοῦ αὐτοῦ** *Διδασκαλία εἰς τὴν λαμπρὰν Κυριακὴν τοῦ Πάσχα.*" Ἀρχ. *Ἡ τοῦ Πάσχα φωνὴ καὶ προσηγορία ἀγαπητοὶ ἀδελφοὶ διάβασις ἑρμηνεύεται· εἰκονίζοντος μὲν πρότερον τὴν ἐξ Αἰγύπτου φυγὴν καὶ ἐπάνοδον τοῦ ἰουδαϊκοῦ ἐκείνου λαοῦ.* Τέλ. *ὡς ἂν οὐ μόνον τῆς μακαρίας ἐκείνης φωνῆς τοῦ πατρὸς ἀκούσητε· τὸ χαίρετε· ἀλλὰ καὶ τῶν αἰωνίων καὶ ἀκηράτων ἀγαθῶν κληρονόμοι γένησθε διὰ τῆς προσκυνήσεως τῆς μητρὸς τοῦ Θεοῦ τῆς κυρίως καὶ ἀληθῶς ὑπερενδόξου ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων ἀμήν.*—ιε′ (φ. 180 β). "**Τοῦ αὐτοῦ** *Διδασκαλία εἰς τὸ ῥητὸν τοῦ σοφοῦ Σολομῶντος Καιρὸς τοῦ παντὸς πράγματος.*" Ἀρχ. *Εἰκὸς ἂν εἴη καὶ ἡμᾶς σήμερον ἀγαπητοὶ ἀδελφοὶ ὑπομνῆσαι πρὸς τὴν ὑμετέραν ἀγάπην τὸ τοῦ σοφοῦ Σολομῶντος γεγόντος Καιρὸς τῷ παντὶ πράγματι.* Τέλ. *Ταῦτα τοίνυν καὶ ὑμῖν ἐργάζεσθαι εὔχομαι τοῖς ἀγαπητοῖς μου φίλοις καὶ ἀδελφοῖς· ἵνα τῆς ἀγαθῆς ταύτης μερίδος τύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας αἰώνων ἀμήν.*—ιϛ′ (φ. 188 α). "**Τοῦ αὐτοῦ** *Διδασκαλία κατὰ γοήτων καὶ γοητευουσῶν.*" Ἀρχ. *Πολλάκις καὶ διαφόρως εἰσηγησάμην πρὸς τὴν ὑμετέραν ἀγάπην, ἵνα ἀπέχησθε μακράν που τῶν δαιμονικῶν ἔργων· οὐδὲ γὰρ ψυχὰς μόνον διαφθείρουσιν, ἀλλὰ καὶ αὐτὰ τὰ σώματα.* Τέλ. *ἀπόστητε παρακαλῶ ταύτης τῆς μιαρᾶς πράξεως· ἵνα καὶ τῆς μακαρίας ζωῆς ἐπιτύχητε χάριτι....*—ιζ′ (φ. 192 β). "**Τοῦ αὐτοῦ** *Ὁμιλία περὶ ἀναισθησίας.*" Ἀρχ. *Φόβος ὃν ἐφοβούμην, ἐπῆλθέ μοι, καὶ*

ὃν ἐδεδοίκειν, οὗτος συνήντησέ μοι φησὶν ὁ δίκαιος καὶ πολὺς τὴν καρτερίαν Ἰώβ. Τέλ. ἀλλὰ καὶ τῆς μακαρίας καὶ ἀθανάτου δόξης ἐκείνης καὶ οὐρανίου βασιλείας ἐπιτύχοιμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα....—ιη' (φ. 198 α). "**Τοῦ αὐτοῦ** Διδασκαλία περὶ τὸ πῶς δεῖ σχολάζειν ἐν ταῖς ὑμνοδίαις τοῦ Θεοῦ καὶ μὴ κατ'ὀλιγορεῖν τούτων." Ἀρχ. Παραγαγὼν ὁ Θεὸς ἐξ οὐκ ὄντων τὴν κτίσιν τήν τε νοερὰν καὶ ἄϋλον· τήν τε λογικὴν καὶ τὴν ἄλογον καὶ αὐτὴν τὴν ἄψυχον καὶ ἀναίσθητον. Τέλ. δι' αὐτῆς γὰρ πάντως καὶ τῆς ὀγδόης ἐπιτυχεῖν ἐλπίζομεν ταύτης μὴ ἐπιτυχόντες ἡμεῖς· ὅπερ απεύχομαι· ἐκείνης οὐδόλως θεαταὶ γενησόμεθα· ἧς ἐπιτυχεῖν ἡμᾶς γένοιτο πάντας ἐν Χριστῷ...—ιθ' (φ. 204 β). "**Τοῦ αὐτοῦ** Διδασκαλία παραινετική." Ἀρχ. Καὶ πάντοτε μὲν ἄριστος ἂν εἴη καὶ ἐπωφελὴς ὁ τῆς διδασκαλίας λόγος· καὶ ἡ ἐντεῦθεν παραίνεσις πολλὴν παρέχει τὴν λυσιτέλειαν τοῖς καλῶς ἐθέλουσι νουθετεῖσθαι. Τέλ. δεινῆς καὶ ἀφορήτου καὶ πάσας ὀδύνας ὑπερβαινούσης ἐλευθερωθῶμεν τιμῆς τοῦ θανάτου, ἀλλὰ καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀκηράτου ζωῆς ἐπιτύχοιμεν χάριτι....—κ' (φ. 209 α). "**Τοῦ αὐτοῦ** Διδασκαλία πρὸς ἐπερχόμενα ἡμῖν δεινά." Ἀρχ. Ἰδοὺ πάρεστι νῦν ὁρᾶν ἀγαπητοὶ ἀδελφοί, ὡς ὁ κριτὴς ἐπὶ θύραις καὶ ὑμεῖς ὡσπερεὶ βαθυτάτῳ ὕπνῳ τῷ κάρῳ τῆς ἁμαρτίας κάτοχοι γεγονότες ἀνανεῦσαι ὅλως οὐ δυνάμεθα. Τέλ. ἵνα καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀκηράτου τροφῆς ἐπιτυχεῖν ἡμᾶς ἀξιώσῃ χάριτι καὶ φιλανθρωπίᾳ....

3 (φ. 214 β). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου** ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ **Χρυσοστόμου** Μαργαρῖται."

Ἐν τέλει· Ἐγράφη ἡ παροῦσα βίβλος διὰ χειρὸς Σεραφεὶμ ἱερομονάχου. Κάτωθεν δὲ τούτων· Κυπρυανοῦ ἱερωμονάχου καὶ Οιβαιροίτου (=Ἰβηρίτου).

4460. 340. Χαρτ. 8. XVII.

"Ἐγχειρίδιον περί τινων ἀποριῶν καὶ λύσεων ἢ περὶ ἐξετάσεως καὶ ἐπιβεβαιώσεως ἀναγκαίων τινῶν τῆς ἐκκλησίας δογμάτων. Πονηθὲν μὲν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου διδασκάλου κυρίου **Ἰωάννου Καρυοφύλου** μεγάλου λογοθέτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κατὰ αἴτησιν τοῦ πανευγενεστάτου καὶ λογιωτάτου ἄρχοντος κυρίου Κωνσταντίνου τοῦ Καντακουζηνοῦ, καὶ ἀφιερωθὲν τῷ ὑψηλοτάτῳ καὶ εὐσεβεστάτῳ ἡγεμόνι κυρίῳ κυρίῳ Ἰωάννῃ Κωνσταντίνῳ Μπασαράμπα βοεβόδα πάσης Οὐγροβλαχίας. Ἀρχιερατεύοντος τοῦ πανιερωτάτου καὶ θεοπροβλήτου μητροπολίτου κυρίου κυρίου Θεοδοσίου. Ἐτυπώθη ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Συναγόβου. Ἐν ἔτει ἀπὸ Χριστοῦ, ͵αχϟζ΄."

Ἐν τέλει Χρονολογικὸς πίναξ τῆς ἱερᾶς ἱστορίας ἀπὸ κτίσεως κόσμου μέχρι Χριστοῦ.

Εστι δὲ τὸ σύγγραμμα τοῦ Καρυοφύλλου πιθανῶς ἀντίγραφον ἐντύπου λείποντος παρὰ τῷ **Βρετῷ** ἀλλ' ἀναγραφομένῳ παρὰ Emile Legrand Bibliographie hellénique...au dix-septième siècle. Paris. 1895. Τόμ. Γ' σ. 45, ἀρ. 673.

4461. 341. Χαρτ. 8. XVIII.

Προχόρου "Βίος καὶ περίοδοι τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου."

4462. 342. Χαρτ. 8. XVII.

"Ἐκ τῶν ὑπερφυῶν θαυμάτων τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ὀλίγα τινὰ συγγραφέντα ἐκ **διαφόρων διδασκάλων** καὶ μεταγλωττισθέντα παρὰ **Ἀγαπίου μοναχοῦ** εἰς κοινὴν ὠφέλειαν."

Ἐν τῇ καθωμιλημένῃ. Μετὰ Προοιμίου. Ἐν τέλει· ͵ζρμϛ'· ἐγράφη μηνὶ Μαρτίῳ κϛ' (=1639).

4463. 343. Χαρτ. 8. XIX. (φ. 94).

1 (φ. 2 α). **Πατερικόν.**

Ἐν τέλει· 1809, Ἰανν. 26.

2 (φ. 35 α). "Ἀρχὴ τῶν τῆς Κωνσταντινουπόλεως: Χρησμοὶ διάφοροι, στίχοι ἰαμβικοὶ εἰς τὴν Κωνσταντινούπολιν, περὶ τῶν παθημάτων αὐτῆς· ποίημα **Λέοντος τοῦ σοφοῦ βασιλέως.**"

Οἱ χρησμοὶ μετ' ἐξηγήσεως.

3 (φ. 42 α). "Τοῦ **Ἱπποκράτους** Ἰατρικὸν συνταγμάτιον, καὶ περὶ προγνωστικῶν φαύλων καὶ κακῶν σημείων, περὶ προγνώσεως ἐπὶ τῶν ἀρρωστούντων καὶ συνδρομῆς παντοίων νοσημάτων, ἐάν τις ἀσθενὴς κατακλιθῇ ἐν ἡμέραις μηνῶν, γνῶναι τὸ τελευταῖον τοῦ γενησομένου ἀσθενοῦς, μακρονοσεῖ ἢ τελευτεῖ· περιέχει δὲ ἡ παροῦσα πρόγνωσις καὶ σημεῖα παθῶν διαφόρων, ἅτινα εἰσὶν ἀναγκαῖα τοῦ γνῶναι ἕκαστος τῶν ἰατρῶν ταῦτα."

4 (φ. 43 α). "Ἐξήγησις εἰς ιγον κεφάλαιον τῆς Ἀποκαλύψεως τοῦ ἁγίου **Ἰωάννου τοῦ Θεολόγου,** ἐκ τῆς [**Ἰωάννου**] **τοῦ Μυρέων** ἐξηγήσεως."

Ἐν τῇ ἄνω ᾤᾳ· Αὐτὸς εἶνε **ὁ Ἰωάννης ὁ Μύρων,** ὁποῦ ἦττον ἐδῶ εἰς τῶν Ἰβήρων ἐξόριστος καὶ ἀπέθανε κατὰ τὴν Βλαχίαν.

Ἀρχ. Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον.... Ἐξήγησις· Θηρίον ἐνταῦθα νοεῖ ὁ ἅγιος τὴν Μωαμεθανικὴν θρησκείαν, ἡ ὁποία ἀνεφάνη ἀπὸ τὸ μέρος τῆς μεσημβρίας.

Ἕπεται· "Ἐξήγησις εἰς τὸ δέκατον ἕβδομον κεφάλαιον τῆς αὐτῆς Ἀποκαλύψεως." Ἀρχ. Τὸ πρῶτον θηρίον καθιστορεῖ ὁ ἅγιος Ἰωάννης πρῶτον μὲν εἰς τὸ ιγον κεφάλαιον, ἑπτακέφαλον μόνον καὶ δεκάκερον.

5 (φ. 58 α). Χρησμοί.

α' (φ. 58 α). "Χρησμὸς τοῦ ἁγίου **Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως.**"—β' (φ. 66 β). "Ἕτερος χρισμὸς **Στεφάνου Ἀλεξανδρείας** τοῦ καὶ οἰκουμενικοῦ διδασκάλου."—γ' (φ. 78 α). "Ὀπτασία **Ἱερωνύμου Ἀγαθαγγέλου.**"—δ' (φ. 78 α). "Ἐπιστολὴ **Θεοκλήτου** ἑρμηνευτοῦ τῆς παρούσης ὁράσεως."—ε' (φ. 78 α). "Ὁ τοῦ παρόντος ἑρμηνευτής." Κεφάλαια ζ'.

Ἐν τέλει· Λείπουν κεφάλαια 3. Καὶ κατωτέρω· Ἔστω εἰς ἴδησιν τῶν ἀναγινοσκόντων ὅτι εἰς τὸ σκευοφιλακιόν μας Ἰβήρων, εἶναι ἡ τελειωτέρα Ἀπὸκάλυψις εἰς κεφ. 10, μὲ καλὴν καλληγραφίων, ὁποῦ ὕστερα εὐρέθει.

Τὰ ὑπ' ἀρ. α' καὶ β' μετ' ἐξηγήσεως ἑπομένης ἑκάστοτε εἰς βραχέα μέρη τοῦ κειμένου.

4464. 344. Χαρτ. 8. XIV.

1 (φ. 1 α). Κανὼν εἰς τὸν φύλακα ἄγγελον.

2 (φ. 4 α). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Θαλασσίου** Κεφάλαια περὶ ἀγάπης καὶ ἐγκρατείας καὶ τῆς κατὰ νοῦν πολιτείας."

3 (φ. 5 β). "Ἀπάνθισμα, γνωμικὰ συναθροισθέντα παρὰ τοῦ ἐλαχίστου ἐν μοναχοῖς **Ἠλία καὶ πρεσβυτέρου.**"

4 (φ. 11 α). "Περὶ εὐχῆς."

5 (φ. 13 α). "Γνωστικά."

6 (φ. 16 α). "**Τοῦ αὐτοῦ** Πρακτικὰ καὶ θεωρητικὰ κεφάλαια."

7 (φ. 25). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Νείλου** Παραινέσεις εἰς μοναχοὺς ἐν κεφαλαίοις τρισίν." Κεφ. νγ'.

8 (φ. 32 α). "**Μαξίμου τοῦ Ὁμολογητοῦ** Πρὸς Ἐλπίδιον πρεσβύτερον περὶ ἀγάπης κεφάλαια τετρακόσια."

Πρόλογος καὶ κεφ. ϟθ' μόνον.

Ἕπεται "**Τοῦ αὐτοῦ**" Ἀρχ. Κλέπτης ἐστὶν ὁ πρὸς ἀπάτην τῶν ἀκουόντων τοὺς θείους δῆθεν ἀσκούμενος λόγους.

9 (φ. 41 α). "**Νικήτα μοναχοῦ καὶ** πρεσβυτέρου μονῆς τῶν Στουδίου **τοῦ Στηθάτου** Κεφαλαια πρακτικὰ ἑκατόν."

Ἕπονται α' (φ. 63 α). "**Τοῦ αὐτοῦ** Τὶς ὁ νοητὸς παράδεισος καὶ τίνα τὰ ἐν αὐτῷ φυτὰ καὶ οἱ τούτου θεῖοι καρποί...." —β' (φ. 65 β). "**Τοῦ αὐτοῦ** Ἕτερα κεφάλαια φυσικὰ καὶ περὶ τῆς τοῦ νοὸς καθάρσεως, ἑκατόν." Μόνον μέχρι κεφ. πη'.

10 (φ. 89 α). "**Συμεὼν τοῦ νέου Θεολόγου** ἡγουμένου μονῆς τοῦ ἁγίου Μάμαντος τῆς ἐν Ξηροκρήνῃ Περὶ τῶν τριῶν τρόπων τῆς προσευχῆς καὶ προσοχῆς."

Ἕπονται "**Τοῦ αὐτοῦ** Πνευματικὰ ζητήματα καὶ λύσεις, πλήρεις διακρίσεως καὶ ὠφελείας."

11 (φ. 100 α). "Ἀπὸ τοῦ βίου τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ."

12 (φ. 101 α). "**Θεοδώρου μονάζοντος** Λόγος περὶ φυλακῆς καρδίας."

13 (φ. 102 β). "Ἀπὸ τοῦ βίου τοῦ μεγάλου Θεοδοσίου τοῦ κινοβιάρχου."

14 (φ. 103 α). **Πατέρων** Ἀποσπάσματα.

α' (φ. 103 α). "Τοῦ **μεγάλου Ἀρσενίου.**"—β' (φ. 103 β). "Τοῦ ἁγίου **Παύλου τοῦ ἐν τῷ Λάτρῳ.**"—γ' (φ. 103 β). "Τοῦ **ἁγίου Σάβα.**"—δ' (φ. 104 α). "Τοῦ **ἀββᾶ Ἀγάθωνος.**"—ε' (φ. 104 β). "Τοῦ **ἁγίου Μάρκου** πρὸς Νικόλαον."—ϛ' (φ. 105 α). [**Ἰωάννου**] "**Τοῦ τῆς Κλίμακος.**"—ζ' (φ. 105 β). "Τοῦ **ἀββᾶ Ἡσαΐου.**"—η' (φ. 106 α). "Τοῦ **ἁγίου Μακαρίου.**" —θ' (φ. 106 β). "Τοῦ **ἁγίου Διαδόχου.**"—ι' (φ. 106 β). "**Ἰσαὰκ τοῦ Σύρου.**"—ια' (φ. 107 α). "**Συμεὼν τοῦ νέου Θεολόγου.**"

15 (φ. 109 β). "**Πέτρου τοῦ Δαμασκηνοῦ** Ὅτι ἑπτά εἰσιν αἱ ἐργασίαι τῆς ἀρετῆς."

16 (φ. 112 α). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Μαξίμου** Κεφάλαια διάφορα."

17 (φ. 114 α). "**Φιλοθέου μοναχοῦ μονῆς** τῆς ὑπεραγίας **Θεοτόκου τῆς Βάτου ἐν Σινᾷ.**"

18 (φ. 122 α). "**Θεοδώρου** τοῦ **Ἐδεσσηνοῦ** Κεφάλαια ἀσκητικά" [ρ'].

19 (φ. 138 α). "Τοῦ μακαρίου **Ἐφραὶμ** [**τοῦ Σύρου**] Πῶς δεῖ παρακαλεῖν τοὺς ὀλιγωροῦντας."

20 (φ. 142 α). "**Τοῦ αὐτοῦ** Λόγος ἀντιρρητικὸς περὶ παρθενίας."

21 (φ. 145 α). "Ὅτι δεῖ τὸν ἀναγινώσκοντα ἐν ὠσὶν ἀδελφῶν, φιλοπόνως ἀναγινώσκειν."

22 (φ. 146 α). **Πατρικίου καὶ Εὐδοκίας** Ὁμηρόκεντρα.

Ἐν φ. 146 β. "Τὰ λεγόμενα Ὁμηρόκεντρα, ἃ καὶ Κέντρωνες λέγονται."

Ἀρχ. Κέκλυτε μυρία φῦλα περικτιόνων ἀνθρώπων
Τέλ. (κολ.) ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα.

Προτάσσεται "Ἐπίγραμμα εἰς τὰ Ὁμηρόκεντρα" γεγραμμένον κατὰ δύο σελίδας, μετ' ἐξηγήσεως διαστίχου. Ἀρχ.

ὑπάρχει τοῦ ἁγίου ἤγουν τοῦ ἱερέως
Βίβλος Πατρικίοιο θεουδέος ἀρητῆρος
πρωτόγονον τιμῶν
Τέλ. ἀρχέγονον βλάστημα Θεοῦ γενετῆρος ἀνάρχου.

Ἐπὶ τούτοις τόδε τὸ σημείωμα· Τὰ παρόντα Ὁμηρόκεντρα συνετέθη μὲν ὑπὸ **Πατρικίου ἐπισκόπου**, διορθώθη δὲ ὑπὸ **Εὐδοκίας**, ἧς καὶ ὁ παρὼν ἐστὶ δι' ἡρώου πρόλογος. Ἄρχεται ὁ Πρόλογος·

ὑπ' αὐτῆς τέρπεται ὁ Θεὸς
Ἧδε μὲν ἱστορίη θεοτερπέος ἐστὶν ἀοιδῆς
Τέλ. κεῖνος δ' ἤρατο μοῦνος ἐν ἀνθρώποισι μέγα κῦδος.

Ἐν τοῖς πρώτοις φύλλοις τοῦ ποιήματος ἀραιὰ διάστιχος ἐξήγησις, μέχρι μέν τινος διὰ μέλανος, εἶτα δὲ διὰ κιρρᾶς γραφῆς. Ἐν δὲ τῇ ᾤᾳ πρὸ ἑκάστου στίχου δηλοῦται ἐξ ὁποτέρου τῶν ὁμηρικῶν ἐπῶν καὶ τίνος αὐτοῦ ῥαψῳδίας εἴληπται οὗτος διὰ παραπομπῶν τοιῶνδε· Ο χ, Ι^λ ν.

23 (φ. 170 α). "Τῇ Δευτέρᾳ ἑσπέρᾳ Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον."

4465. 345. Χαρτ. 8. XV.

Μηναῖον Ἰουλίου.

Ἀκέφαλον. Ἐν τέλει· Ἐγράφη ἡ παροῦσα βίβλος δι' ἐμοῦ ἁμαρτωλοῦ Μανασσῆ, τάχα καὶ ῥακενδίτου, διὰ ὄνομα τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου εἰς τὸ Ἁγιωνήση καὶ ἔδωσά το πρὸς τὰς ἁγίας χεῖρας τῶν τριάκοντα καὶ δύο τῆς θεοσόστου καὶ θεοφρουρήτου καὶ θεοφυλάκτου πόλεως Κερκήρας....Ἔτους ,ϛϡν' ἰνδικτιῶνος ε' (=1442).

4466. 346. Χαρτ. 8. XVIII.

Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

4467. 347. Χαρτ. 8. XVII.

1. Ἀκολουθία τοῦ εὐχελαίου.
2. Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Ἴβηρος.
3. "Περὶ τῆς μονῆς τοῦ Πρωτάτου, τοῦ Βατοπεδίου, τῶν Ἰβήρων, τοῦ Ζωγράφου καὶ τοῦ Ξηροποτάμου."

Ἀρχ. Ὁ δὲ μέγας Κωνσταντῖνος ἐν τῷ Ἄθω ὄρει ἀνήγειρε τρεῖς ναοὺς μεγίστους.

4468. 348. Χαρτ. 8. XVI.

1. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγεντίου** ἐπισκόπου γενωμένου πόλεως **Τεφρῶν**, Διάλεξης μετὰ Ἰουδαίου Ἐρβὰν τοὔνομα."
2. **Ἰωάννου** "**τοῦ Χρυσοστόμου καὶ ετέρων** διαφόρων πατέρων Ἑρμηνεῖαι τῶν θείων γραφῶν πρὸς κατάνυξιν τῶν ἀναγινωσκῶντων καὶ ὠφέλιαν τῶν ἀκουόντων."
3. "Λόγος εἰς τὴν ἁγίαν Κυριακὴν καὶ εἰς ταῖς λιπαῖς εορταῖς."

4. Βίος καὶ πολιτεία Νήφωνος τοῦ ἐρημίτου.

5. **Διήγησις ἐκ τοῦ Πατερικοῦ.**

"Αρχ. (ἀκέφ)....Εἶπεν ὁ ἅγιος Ἠσαΐας, ὅτι καθεζομένου μου ποτὲ πλησίον τοῦ ἁγίου Μακαρίου.

6. Βίος καὶ πολιτεία Ἐφραὶμ τοῦ Σύρου.

7. Βίος καὶ πολιτεία Νικήτα τοῦ πατρικίου.

8. Βίος καὶ πολιτεία ἀββᾶ Σαραπίωνος.

9. "Φυσιολογία νέα ἣν ἐποίησεν

Δαμασκηνὸς [Στουδίτης] ὁ νῦν Ναπάκτου, ρανισάμενος ἐκ τῶν πάλαι φιλοσόφων τὰ βιβλία διηγήσατο δὲ περὶ τῶν τὲ χερσέων καὶ θαλασσίων ζώων καὶ πετεινῶν."

"Ιδ. καὶ 794 (92), 1. 3777 (243). 4259 (139), 2. 4272 (152), 1.

10. "Ἀρχεῖ τὸν φυσιολόγον περιέχων τὰς φύσις καὶ λέξης τῶν ζώων καὶ ἑρμηνίαν."

Κατὰ τὸν τοῦ **Ἐπιφανίου Κύπρου.**

11. "Λόγος ὠφέλιμος ὅτι ἐὰν θέλῃ ὁ δαῖμον δύναται μετανοῆσαι."

12. "Τὰ πάτρια τῆς αγίας Σοφίας τῆς ἐν Κωνσταντίνου πόλιν."

"Αρχ. Τὴν ἁγίαν Σοφίαν τὴν μεγάλην ἐκκλησίαν πρῶτον μὲν ανήγειρεν αὐτὸν ὁ μέγας Κωσταντῖνος.

13. **Χριστοφόρου Ἀλεξανδρείας** "Λόγος φανερῶν τίνι ὁμοιώθη ὁ ἀνθρώπινος βιος καὶ ἡ ζωὴ τῶν ἀνθρώπων."

14. Βίος καὶ πολιτεία τοῦ ἀποστόλου Θωμᾶ.

15. "Περὶ ἀσπίδος. Φισιολογία."

16. Πίνακες τῶν κύκλων καὶ μηνῶν.

17. Χρονολογικὸς πίναξ τῶν ἑπτὰ συνόδων.

4469. 349. Χαρτ. 8. XIV. (φ. 209).

1 (φ. 1 α). **[Μεθοδίου Πατάρων Λόγος** Περὶ τῶν ἐσχάτων ἡμερῶν].

"Αρχ. (ἀκέφ.)...χιλιετηρίδος ἐπανέστησαν ἄνδρες κακότεχνοι, πονηροὶ καὶ παράνομοι καὶ πάσης ἀνομίας πλήρης ἐκ τῶν υἱῶν Κάϊν Ἰουβὴλ καὶ Θουλοῦ Σιὴλ τέκνα Λάμεχ· ὧν κατακυριεύσας ὁ διάβολος ἐτροπόσατο αὐτούς. Τέλ. Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου μετὰ δόξης πολλῆς καὶ ἥξει ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ ἀνελεῖ αυτὸν ὁ Κύριος τῷ πνεύματι τοῦ στόματος αὐτοῦ κατὰ τὴν ἀποστολικὴν ἐκφαντορίαν. Τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, οἱ δὲ ἀσεβεῖς ἀποστραφήσονται εἰς σκότος χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ πρέπει τῷ πατρὶ τιμὴ καὶ προσκύνησις σὺν τῷ παναγίῳ αὐτοῦ πνεύματι Ἀμήν.

2 (φ. 21 α). Χρονικὸν ἀνεπίγραφον ἀπὸ κτίσεως κόσμου μέχρι Νικηφόρου τοῦ Βοτανειάτου.

"Αρχ. (ἀκέφ.)...γενέσθαι φθορὰν τῶν ἀνθρώπων ἐποίησαν δύο στήλας μίαν μὲν λιθίνην, ἑτέραν δὲ πλινθίνην, λογισάμενοι ὅτι εἰ μὲν δι' ὕδατος ὁ κατακλυσμὸς ἡ λιθίνη στήλη μενεῖ καὶ τὰ ἐν αὐτῇ γεγραμμένα, εἰ δὲ διὰ πυρὸς ἡ πλινθίνη σωθήσεται. Ἀπὸ Μαγουσαίων δὲ ἤτοι Περσῶν ἤρξατο ἡ ἀστρολογία (ἄνωθεν τῆς λέξεως ταύτης νεωτέροις γράμμασι· καὶ μαγεία) λαβόντων ἀρχὰς ἀπὸ Νεβρὼδ τοῦ τὴν Βαβυλῶνα κτίσαντος. Μετὰ Νῖνον ἐβασίλευσεν Ἀσσυρίων Θάρρας τίς τοὔνομα ἔτη λ' ὃν καὶ μετεκάλεσαν "Αρεα εἰς τὸ ὄνομα τοῦ πλανήτου ἀστέρος· ᾧ τινι "Αρει πρώτην στήλην ἀνέστησαν οἱ Ἀσύριοι καὶ ὡς θεὸν προσκυνοῦντες μέχρι τοῦ νῦν καλοῦσι περσιστὶ Βάαλ θεὸς ὃ ἔστιν "Αρης πολέμων Θεὸς, οὗ καὶ Δανιὴλ μέμνηται. Τέλ. Διεδέξατο δὲ τὴν βασιλείαν ὁ τοῦ Δούκα υἱὸς Μιχαὴλ ὁ λεγόμενος Παραπινάκης· τοῦ δὲ πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου κοιμηθέντος, ὁ βασιλεὺς ἕτερον προεχειρίσατο, Κοσμᾶν μοναχὸν τῆς ἁγίας μὲν πόλεως ἀφικόμενον, μεγίστῃ δὲ τιμῇ διὰ τὴν ἀρετὴν αὐτοῦ παρὰ βασιλεῖ τιμώμενον. Οἱ δὲ πολῖται διὰ τὸ τὸν Βοτανειάτην ἐξ Ἀνατολῆς ἤδη ἀναγορευθῆναι τά τε ἀνάκτορα καταλιπόντες καὶ φύλακας αὐτοῖς καταστήσαντες καὶ τὸν βασιλεύοντα Μιχαὴλ καθαιρήσαντες πρὸς τὴν τοῦ Στουδίου μονὴν παραπέμπουσι μετ' ἀτελοῦς ὑποζυγίου σὺν τῇ αὐγούστῃ Μαρίᾳ τῇ ἐξ Ἀλανῶν καὶ τῷ τούτου παιδὶ Κωνσταντίνῳ τῷ πορφυρογεννήτῳ καὶ πρὸς τὸν μονήρη μεταλλάττουσι βίον κατὰ τὸ Σάββατον τοῦ δικαίου Λαζάρου, βασιλεύσαντος χρόνους ϛ', ὃν ὕστερον καὶ μητροπολίτην Ἐφέσου ἐχειροτόνησαν. Οὗτος οὖν ὁ Βοτανειάτης Νικηφόρος παρὰ πᾶσαν προσδοκίαν ἀναίμακτον ἀπέλαβε τὴν αὐτοκρατορίαν, κατ' αὐτὴν τὴν μεγάλην Τρίτην καὶ ταῖς τοῦ πατριάρχου χερσὶ τῷ βασιλικῷ διαδήματι ταινιοῦται καὶ γυναικὶ συζεύγνυται τῇ ἐξ Ἀλανῶν Μαρίᾳ τοῦ Μιχαὴλ συμβίῳ. Ἐβασίλευσε δὲ ἔτη τρία.

Ἐν τέλει προσήρτηται βραχὺς κατάλογος τῶν ἀπὸ Ἀλεξίου Κομνηνοῦ μέχρι Θεοδώρου τοῦ Λασκάρεως αὐτοκρατόρων. "Εχει δὲ ὧδε·

Ἀλέξιος ὁ Κομνηνὸς ἐβασίλευσεν ἔτη λβ', μῆνας δ'.

Ἰωάννης ὁ τούτου υἱὸς ἔτη κδ'.

Μανουὴλ ὁ τούτου υἱὸς ἔτη λη' καὶ ἀπεκάρη μοναχὸς μετονομασθεὶς Ματθαῖος.

Ἀλέξιος ὁ τούτου υἱὸς μειράκιον ἔτος ἕν. Τοῦτον φονεύσας Ἀνδρόνικος ὁ πρὸς πατρὸς θεῖος αὐτοῦ.

Ἀνδρόνικος ἐτηράννισεν ἔτη κγ'.

Τοῦτον φονεύσας ὁ ἀνεψιὸς αὐτοῦ.

Ἰσαάκιος ὁ "Αγγελος ἐκράτησεν ἔτη θ'.

Τοῦτον τυφλώσας ὁ ἴδιος ἀδελφὸς ἐκράτησεν ἔτη θ'.

Τοῦτον ἐκδιώξας τῆς βασιλείας καὶ τῆς πόλεως ὁ ἀνεψιὸς αὐτοῦ Ἀλέξιος μειράκιον ὁ υἱὸς Ἰσαακίου ἐκράτησε μῆνας ϛ'.

Τοῦτον φονεύσας ὁ ἀδελφὸς Ἀλέξιος ὁ Δούκας ὁ καὶ Μούρτζουφλος ἐκράτησε μῆνας β'.

Φεῦ καὶ ταῦτα Χριστιανοὶ Χριστιανούς· καὶ πῶς ἔμελλεν ἐφησυχάσαι ἡ δίκη καὶ μὴ παραδοῦναι ἡμᾶς εἰς αἰχμαλωσίαν καὶ ἐξολόθρευσιν ὃ καὶ γέγονε. Θεόδωρος ὁ Λάσκαρις ἐβασίλευσεν ἔτη ιη'. Ἰωάννης ὁ Βατάτζης ὁ γαμβρὸς αὐτοῦ ἐβασίλευσεν ἔτη λγ'· ὁ υἱὸς αὐτοῦ Θεόδωρος ὁ Λάσκαρις ἐβασίλευσεν ἔτη γ' καὶ μῆνας ι' καὶ ἀπεκάρη ἐν τῇ μονῇ τῶν Σουσάνδρων καὶ ἀπέθανε.

3 (φ. 83 α). **Ἀθανασίου Ἀλεξανδρείας**

"Πρὸς Ἀντίοχον ἄρχοντα περὶ πλείστων ζητημάτων τῶν ἐν ταῖς Γραφαῖς ἀπορουμένων καὶ παρὰ πᾶσι Χριστιανοῖς γινώσκεσθαι ὀφειλόντων,"

4 (φ. 155 α). Ἐκλογὴ ἀποφθεγμάτων καὶ ἀποσπασμάτων τῆς **Γραφῆς** καὶ **τῶν πατέρων.**

"Αρχ. **Τοῦ Σιράχ.** Τέκνον εἰ προσέρχῃ δουλεύειν τῷ

Κυρίῳ. Τέλ. **Γρηγορίου τοῦ Θεολόγου.** *Οὔτε ἐν ἰχθύσι φωνήν, οὔτε ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν.*

5 (φ. 173). "**Τοῦ Χρυσοστόμου**
Ἐκ τῆς τοῦ ἁγίου Εὐαγγελίου *ἑρμηνείας.*"

Ἄρχ. Τὸ *ῥακὰ οὐ μεγάλης ἐστὶν ὕβρεως ῥῆμα.* Τέλ. *ἀληθεύσας δὲ τοὺς ἐν πτωχείᾳ διάγοντας ἐκάλεσε καὶ τοὺς ἐν πλούτῳ ὄντας.*

Προηγεῖται *συνήθως τὸ κείμενον* (κ̅ᵍ̅ᵒᵛ) *καὶ ἕπεται ἡ* Ἑρμηνεία (Ἑρμ).

6 (φ. 187 α). "Ποσάκις ὁ Χριστὸς μετὰ τὴν
ἐκ νεκρῶν ἀνάστασιν τοῖς μαθηταῖς ὤφθη καὶ ποῦ καὶ πότε."

Ἄρχ. Ἰστέον *ὅτι διὰ τεσσαράκοντα μὲν ἡμερῶν τοῖς μαθηταῖς ὁ Σωτὴρ ὠπτάνετο.* Τέλ. *ἑξῆς εἰς τὸ ὄρος τῆς* Γαλιλαίας *οὗ ἐτάξατο αὐτοῖς ὁ* Ἰησοῦς *καὶ εἰς τὸ ὄρος τῶν* Ἐλαιῶν *ὅτε καὶ ἡ ἀνάληψις γέγονεν.*

7 (φ. 188 β). "Ἐκλογὴ ἑρμηνείας
ἐκ τῶν τοῦ ἀποστόλου Παύλου *ἐπιστολῶν.* **Τοῦ Χρυσοστόμου.**"

Ἄρχ. Διὸ *καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.* Οὐκ *ἐγράφη δὲ δι' αὐτὸν μόνον.* Τέλ. (κολ.) *παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ...*

Ἡ *ἑρμηνεία ἕπεται ἑκάστοτε εἰς βραχὺ μέρος κειμένου.*

4470. 350. Χαρτ. 8. XVIII.

1. Ἀδήλου Λόγος εἰς τὸ κεφ. α' τοῦ **κατὰ Ματθαῖον** εὐαγγελίου.

2. "Ἐν Νοεμβρίου η$^{\eta}$ τῶν Ἀρχαγγέλων,
Διδαχὴ *γεγονυῖα εἰς* Τρίκκην *κατὰ τὸ ᾳψια' ἡμέρα δ' ἐν τῇ μητροπόλει.*"

3. "Διδαχὴ τοῦ ἁγίου Ἀντωνίου
τῇ ιζ$^{\eta}$ τοῦ Ἰανουαρίου *τό,* Βασιλεῦ *οὐράνιε.*"

4. "Εἰς τὴν σεβασμίαν κοίμησιν τῆς Θεοτόκου Λόγος διδακτικός."

5. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν
Ἀθανασίου, *ὁποῦ ἀσκήτευσε εἰς τοὺς* Σταγοὺς *εἰς τὸν λίθον ὁποῦ ἀπ' αὐτὸν ὠνομάσθηκε* Μετέωρον."

Ἐν *τέλει·* Μετεφράσθη *ὁ παρὼν βίος τοῦ ὁσίου πατρὸς* Ἀθανασίου... *ἀπὸ τὸ* Ἑλληνικὸν *εἰς πεζὴν γλῶσσαν παρ' ἐμοῦ τοῦ εὐτελοῦς καὶ ὀλιγομαθοῦς...* **Νεοφύτου** *ἱερομονάχου* **Χρυσοπούλου** (=**Χρηστοπούλου**)...

6. **Νεοφύτου Χρηστοπούλου** "Τῷ ἐντιμοτάτῳ,
σοφωτάτῳ τε καὶ λογιωτάτῳ... κυρίῳ κυρίῳ Μάρκῳ..."

7. Ἐγκώμιον εἰς τὴν ἑορτὴν τοῦ ἁγίου Νικολάου.

8. Εὐχαὶ καὶ σημειώσεις.

9. "Ἐννεαχῶς τὸ πνεῦμα λέγεται..."

10. Ἐπιστολή.

11. Λόγοι εἰς εὐαγγέλια.

Πλὴν *τοῦ ὑπ' ἀρ.* 9 *ἅπαντα ἐν τῇ καθωμιλημένῃ.*

4471. 351. Χαρτ. 8. XVII.

1. "**Ἰωάσαφ ἱερομονάχου** καὶ μεγάλου
πρωτοσυγγέλου, Ἀπόκρισεις *πρὸς τὰς ἐρωτήσεις, ἃς ἠρώτησεν ὁ εὐλαβέστατος ἐν ἱερεῦσι κῦρ* Γεώργιος *ὁ* Δραζῖνος." Κεφ. *νβ'.*

Ἴδ. *καὶ* 4449 (329), 10.

2. "Περὶ τῶν ἀμφιβαλλομένων νηπίων εἰ ἐβαπτίσθησαν."

3. "Περὶ τῶν βαπτιζομένων νηπίων τῶν Ἀγαρηνῶν."

4. Περὶ εὐχελαίου.

5. "Ἔκθεσις θαυμασία περὶ γάμων
ἐνδεχομένων γίνεσθαι καὶ μὴ γίνεσθαι."

6. "Τοῦ παναγιωτάτου ἀρχιεπισκόπου
Θεσσαλονίκης *κῦρ* **Συμεῶν,** Ἀποκρίσεις *πρὸς τὰς ἐρωτήσεις τοῦ ἱερωτάτου μητροπολίτου* Πενταπόλεως *κῦρ* Γαβριήλ."

Κεφ. *ρλβ' μετὰ* Πίνακος.

7. "Κεφάλαια κανονικὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου τοῦ Χρυσοστόμου.**"

Κεφ. *σϛβ' μετὰ* Πίνακος.

8. "Παραγγελία γινομένη παρὰ τοῦ ἱερέως
πρὸς τὸν λαὸν μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου."

9. "Ἐνταλτήριον ὁποῦ γράφει ὁ ἀρχιερεὺς
ὅτε κάμνει πνευματικόν."

10. "Γράμμα ἀπολυτικόν,
ἤγουν ὅταν θέλῃ νὰ μισεύσῃ ὁ ἱερεύς."

11. "Περὶ πῶς γράφει ὁ πνευματικὸς
τὴν μαρτυρίαν τοῦ μέλλοντος ἱερωθῆναι."

12. "Τὰ τῶν Φράγγων παρατηρήματα καὶ σφάλματα,
δι' ὧν τῆς ἐκκλησίας ἐξεκόπησαν, εἰσὶ ταῦτα."

13. "Τὰ περὶ τῶν Ἀρμενίων γινόμενα καὶ δοξαζόμενα..."

14. "Περὶ τὰ λ' ἀργύρια ὁποῦ ἐπώλησεν ὁ Ἰούδας τὸν Χριστόν."

Ἀτελές.

15. "Εὐχὴ...ἐπὶ τοὺς μέλλοντας μεταλαμβάνειν..."

16. Προφητεία εὑρεθεῖσα ἐν Ῥώμῃ τῇ α' τῆς ἰνδίκτου κτλ.

Μεθ' *ἑρμηνείας.*

17. Τύπος ἐπιστολῆς.

18. Πίνακες τῶν κύκλων τοῦ ἡλίου,
τοῦ ζῳδιακοῦ κύκλου, πλανητικοῦ συστήματος κτλ.

Ἐν *ἀρχῇ τοῦ κώδικος ἄνωθεν τοῦ τίτλου τοῦ ὑπ' ἀρ.* 1· *κ'λνλω ῾ςε⁊εξς'θω, ῾ςε⁊λξλ'νθυλω, πθς`κ⁊οβζλχ' ξενλω: ἔζ⁊θτθ* (=*πόνος* Ἱερεμίας *ἱερομόναχος καὶ προηγούμενος ἔγραψα*).

4472. 352. Χαρτ. XVII. 8.

Θεοφίλου τοῦ Κορυδαλέως Περὶ ψυχῆς.

Βιβλία *γ' μετὰ* Προλόγου.

4473. 353. Χαρτ. 8. XVII.

Μελετίου Ἀλεξανδρείας Ἔργα.

α'. Ἐγχειρίδιον "Ὅσα *δεῖ τὸν* Χριστιανὸν *ἀπαρτίζειν.*" Μετὰ Πίνακος *τῶν περιεχομένων,* Ἐπιγράμματος *εἰς τὸ βιβλίον* **τοῦ αὐτοῦ,** Ἐπιστολῆς *πρὸ τὸν οἰκουμενικὸν πατριάρχην καὶ* Προλόγου *τοῖς ἐντευξομένοις.* "Τὸ *δὲ* Ἐγχειρίδιον *διαιρεῖται εἰς τέσσαρας λόγους*" *ὑπὸ τὸν τύπον διαλόγου μεταξὺ* Μαθητοῦ *καὶ* Διδασκάλου. Ἐν *τέλει·* Ἐν *Αἰγύπτῳ· ᾳχγ' ἔτει σωτηρίῳ* (=1603) *χειρὶ* Μαξίμου *ἀρχιδιακόνου* Ἀλεξανδρείας, *ἐκ τῶν ἰδίων γραμμάτων τοῦ μακαριωτάτου* Ἀλεξανδρείας *κυρίου* Μελετίου *τοῦ πατρὸς ἡμῶν. κθ'* Ἰουλλίου.—

β'. Ἐπιστολὴ πρὸς Σίλβεστρον πάπαν. Ἀρχ. Χαλεπανεῖς μου τῇ παῤῥησίᾳ δέσποτα καὶ πάτερ, ἢ τῇ ἀληθείᾳ συμφήσεις καὶ συναλγήσεις μου τῇ ἀθυμίᾳ, τῶν ἡμετέρων (τουτέστι τῶν τῆς ἐκκλησίας τροφίμων) οὐ πάνυ ὀλίγους πεπλανημένους ὁρῶν.—γ'. Σύγγραμμα ἀνεπίγραφον. Ἀρχ. Ἀντὶ μεγίστων εὐεργετημάτων ὑμᾶς ἑλέσθαι νομίζω, ἄνδρες ἀδελφοὶ (ὅσοι τῆς τοῦ σωτῆρος Χριστοῦ ἱερᾶς ἐκκλησίας λεγόμενοι παῖδες σπεύδετε τῶν γνησίων εὑρεθῆναι) εἰ φανερὸν ὑμῖν γένοιτο τῆς ἀληθοῦς ἐκκλησίας τὸ εἶδος τὸ εἰλικρινές, τίς ποτ' εἴη, πῶς τε καὶ ἐφ' ὅτῳ διϊθυνομένη ἡ ἀληθὴς τοῦ Χριστοῦ ἐκκλησία καὶ νύμφη, ἡ μήτηρ τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων. Τέλ. Ταύτην τὴν οἰκίαν τὴν ἐπάνω πέτρας τῆς πολυτίμου καὶ ἀκραδάντου, τοῦ Χριστοῦ δηλονότι τεθεμελιωμένης, ἣν οὔτε ἀνέμων βίαι, οὔτε ὄμβρων βολαὶ οὔτε προσαρασσόμενοι ποταμοὶ κατασείουσι· ταύτην τέλος καὶ ἐπιγνοίητε καὶ ἀσπάσοισθε ὡς συμβουλεύει ὁ Στρωματεύς, καὶ παρακαλεῖ, ἵνα μετὰ πατέρων, προπατόρων, προφητῶν, ἀποστόλων, μετὰ πνευμάτων δικαίων τετελειωμένων, ἐπὶ νεφελῶν μετεωροπορουντες, ἀπαντήσητέ ποτε Χριστῷ ἐρχομένῳ ἐν δόξῃ· αὐτὸν δεξάμενοι πρότερον καὶ μιμησάμενοι ἐν ἀδοξίᾳ· καὶ οὕτω πάντοτε ἔσοισθε σὺν Χριστῷ, ἐπειδήπερ τῆς κιβωτοῦ ἔξωθεν ἀρίδηλος ὄλεθρος. Ἐν Αἰγύπτῳ αχγ' ἔτει σωτηρίῳ, α^η ἐπὶ δεκάτῃ Ἑκατομβεῶνος, ἤτοι Ἰουνίου. Ἐκ τοῦ πρωτοτύπου τῶν ἰδίων γραμμάτων τοῦ συγγεγραφότος ταυτὶ **Μελετίου** πατριάρχου **Ἀλεξανδρείας**.—δ'. "Ἐπιστολὴ πρὸς βασιλέα Θεόδωρον Ῥωσίας." Ἀρχ. Νόμος κεῖται παρὰ Πέρσαις (κράτιστε βασιλεῦ καὶ αὐτοκράτωρ Θεόδωρε) καλῶς ἔχων: βούλεται γὰρ ὁ νόμος μετὰ δώρων τοῖς βασιλεῦσι προσαπαντᾶν, ἐκεῖνο (ἐγ'ῷμαι) μιμούμενος, ὃ διὰ Μωσέως κεκέλευκεν ὁ Θεός, οὐκ ὀφθήσει (φάσκων) ἐνώπιον κυρίου Θεοῦ σου κενός.—ε'. "Τοῖς ἐντευξομένοις παρὰ Χριστοῦ Θεοῦ σωτῆρος εὐημερίαν." Ἀρχ. Τὸν περὶ τῶν ἀχράντων μυστηρίων πρὸς τοὺς ἀντιφερομένους τῷ τῆς καθολικῆς ἐκκλησίας φρονήματι λόγον κοινῶσαι τοῖς ἡμετέροις Ἕλλησι παρ' αὐτῶν ἐκβιασθεὶς (πῶς γὰρ ἂν τὰς ἑτέρων ἀκοὰς ἐνοχλήσαιμι ἑκών, οἷς αὐτὸς ἐνηχούμενος δυσχεραίνω;) ὑποφωνῆσαι τοῦτο προεθυμήθην, ὅτι καθάπερ ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ δίχα πίστεως, οὕτω δίχα πίστεως ἐννοῆσαι τὰ θεῖα ἐστὶν ἀμήχανον.—ϛ'. Ἐπιστολὴ πρὸς Ἐδουάρδον ἀνεπίγραφος. Ἀρχ. [Π]ολλὰ πολλάκις διετέλεσα διστάζων λαμπρότατε Ἐδουάρδε ταῖς πραγματείαις ἐκείναις καὶ τοῖς ζητήμασιν ἐγχειρεῖν, ἃ πρὸς ἡμῶν περὶ τῶν ἀχράντων ζητεῖς μυστηρίων ἐκθύμως. Τέλ. Ἀλλὰ καὶ ἡ ἀγάπη ἐὰν μὴ συνῇ τῶν προσκαίρων ἡμᾶς τουτωνὶ ἀποσπῶσα καὶ ἀναφέρουσα καὶ ἀνατιθεμένη καὶ προσκολλῶσα Θεῷ πάνυ ἂν εὐαριθμήτους εὕροις τοὺς μὴ (καθάπερ Δαβὶδ εἰρήνην ἁμαρτωλῶν θεωρῶν παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματα αὐτοῦ) σαλευομένους καὶ ὀλισθαίνοντας. Ἔρρωσο. Ἐν Κωνσταντινουπόλει, ἐκ τοῦ κελλίου τῆς ἡμετέρας παροικίας· ἔτει ζρα^ῳ κοσμογενείας πρὸ καλανδῶν Ἰουλίων, τουτέστι Μεγειτνιῶνος λ^η.—ζ'. "[Τ]ῷ πανιερωτάτῳ Φιλαδελφείας κῦρ Γαβριὴλ ἀδελφῷ καὶ συλλειτουργῷ ἐν Κυρίῳ περιποθήτῳ, χάριν, ἔλεος καὶ εἰρήνην παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ." Ἀρχ. Οὔτ' ἀχαριστίας, εὖ μὴ δράσαντες, οὔτ' ἀμνημοσύνης, οὐδὲν ὀφείλουσάν σου τὴν ἱερὰν τετιμήκαμεν ψυχὴν ἐπιστείλαντες. Γράμμα αὐτὸ τοῦτο ἐξεζητήσαμεν, τὴν τῆς φιλίας φυὴν μὴ καὶ καταμαραίνοιτο τῆς ἡμετέρας ἀσθενείας τὸ φίλτρον ταῖς τῶν ὑπορρωννύντων ἰσχναινόμενον ἀπουσίαις. Τέλ. Ἴσχει μου τὴν γλῶσσαν ἡ λύπη, καὶ τὰ δακρύων, οὐ λόγων ἄξια πράγματα· τὰς δὲ ἀμφισβητήσεις τὰς περὶ τὴν ἐκκλησίαν, καὶ δηλώσουσι Στρωματέων οἱ λόγοι καὶ ἐλέγξουσιν· οὓς πρὸ πολλοῦ συνεγραψάμεθα. Ἔρρωσο ἐν Κυρίῳ φίλη ψυχή. Πυανεψιῶνος εἰκάδι· ἔτει κοσμογενείας ‚ζργ' σωτηρίῳ, αφϙδ' ἐν Ἀλεξάνδρου.—η'. "[Τ]οῦ **αὐτοῦ** σοφωτάτου καὶ λογιωτάτου **πατριάρχου Ἀλεξανδρείας** κυρίου **Μελετίου** Στοιώσεις." Μετὰ Προλόγου. Περὶ γραμματικῆς, διαλεκτικῆς, ῥητορικῆς.—θ'. "**Τοῦ αὐτοῦ** Διάλογος ὀρθόδοξος." Μεταξὺ Ξένου καὶ Παιδός. Προτάσσεται Ἐπιστολὴ πρὸς τὸν πατριάρχην Κωνσταντινουπόλεως Ἱερεμίαν καὶ Πρόλογος Τοῖς ἐντευξομένοις. Ἐν τέλει· Ἐν Αἰγύπτῳ, ‚αχγ' σωτηρίῳ ἔτει, ζρια' (=1603). Καὶ τοῦτο ἐκ τῶν ἰδιοχείρων γραμμάτων τοῦ μακαρίτου ἐκείνου Μελετίου πατριάρχου Ἀλεξανδρείας μοι γέγραπται.

4474· 354· Χαρτ. 8. XIV.

1. "**Εὐνομίου** Ἀπολογητικός."

2. "**Τοῦ ἁγίου Βασιλείου** Ἀνατρεπτικὸς τοῦ Ἀπολογητικοῦ τοῦ δυσσεβοῦς **Εὐνομίου**." Λόγοι δ'.

3. "Κεφάλαια τῆς πρὸς Ἀμφιλόχιον ἐπίσκοπον Ἰκονίου ἐπιστολῆς τοῦ ἁγίου **Βασιλείου Καισαρείας**." Κατὰ τὸν Πίνακα λόγοι λ'.

4475· 355· Περγ. 8. X. (φ. 247).

1 (φ. 1 α). **Βασιλείου τοῦ μεγάλου** Ἐπιστολαί.

Ἦσαν ἀρχῆθεν σοϛ', νῦν δ' ἀκεφάλου ὄντος τοῦ κώδικος σῴζονται ἀπὸ τῆς οζ'. Ἀρχ. (ἀκέφ.)...ἕνεκεν προσετάξαμεν, ἑπόμενοι τῇ διαταγῇ τῶν ἁγίων πατέρων, χωρισθῆναι σοι τοῦ γυναίου. Τέλ. ἐὰν δὲ τολμήσῃς μὴ διορθωσάμενος σεαυτὸν ἀντέχεσθαι τῆς ἱερωσύνης ἀναθεμα ἔσει παντὶ τῷ λαῷ καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι κατὰ πᾶσαν ἐκκλησίαν γεννήσονται.—οη' (φ. 1 α). "Ἀταρβίῳ, κρίναντι μὴ γράφειν διὰ διαβολήν."—οθ' (φ. 1 β). "Θεοφίλῳ ἐπισκόπῳ Ἀπολογία."—π' (φ. 2 α). "Πατροφίλῳ ἐπισκόπῳ τῆς ἐν Αἰγέαις."—πα' (φ. 6 β). "Βοσπορίῳ ἐπισκόπῳ κατα συκοφαντῶν."...—σοδ' (φ. 158 α). "Ἀμφιλοχίῳ περὶ κανόνων."—σοε' (φ. 163 β). "Τῷ αὐτῷ περὶ κανόνων."—σοϛ' (φ. 168 β). "Τῷ αὐτῷ περὶ κανόνων."

Ἡ τάξις τῶν ἐπιστολῶν διάφορος ἢ παρὰ τῷ Migne xxxii.

2 (φ. 172 β). "**Γρηγορίου ἐπισκόπου Ναζιανζοῦ** Ἐπιστολαί."

Εἰσὶ δὲ ση', ὧν αἱ πρῶται ἀμοιβαῖαι **Γρηγορίου** καὶ **Βασιλείου τοῦ μεγάλου**. α' (φ. 172 β). "**Βασίλειος** Γρηγορίῳ." Ἀρχ. Ἐγὼ τοῦ ἀδελφοῦ μου ἐπιστείλαντος.—β' (φ. 173 β). "**Γρηγόριος** Βασιλείῳ." Ἀρχ. Σὺ μὲν σκῶπτε καὶ διάσυρε τὰ ἡμέτερα.—γ' (φ. 174 β). "**Βασίλειος** Γρηγορίῳ." Ἀρχ. Ἃ μὲν πρότερον ἐπεστέλλομεν.—δ' (φ. 175 α). **Γρηγόριος** Βασιλείῳ." Ἀρχ. Ἐπειδὴ φέρεις μετρίως.—ε' (φ. 175 β). "Τῷ αὐτῷ." Οὐ φέρω τὴν Τιβερνενὴν ἐγκαλούμενος—ϛ'. Οὐχ ὑπάρχει.—ζ' (φ. 175 β). "Τῷ αὐτῷ." Ἀρχ. Ἐψευσάμην, ὁμολογῶ.—η' (φ. 176 α). "**Γρηγόριος** Κελευσίῳ ἄρχοντι."—θ' (φ. 176 α).

"**Γρηγόριος** *τῷ αὐτῷ.*"—ι' (φ. 176 β). "*Εὐστοχίῳ* **Γρηγόριος.**"...—σε' (φ. 276 β). "*Προκοπίῳ.*"—σς' (φ. 277 α). "*Ἀλυπίῳ ἄρχοντι.*"—σζ' (φ. 277 β). "*Τῷ αὐτῷ.*" Ἄρχ. *πάλιν γράψω, παρεῖναι δέον.*—ση' (φ. 277 β). "*Τῷ αὐτῷ.*" Ἄρχ. *Ἰδού σοι καὶ ἄλλη γραμμάτων ὑπόθεσις, εἰ χρὴ...ἐν αἷς λέξεσι καὶ τελευτᾷ ὁ κῶδιξ κολοβός.*

4476. 356. Χαρτ. 8. XV. XVI. (φ. 282).

1 (φ. 1 α). **Ἀδήλου** Λόγος ἀκέφαλος.

Ἄρχ.*...ἱστορίας ὅσα περὶ τὰ ἄπιστα ἔθνη ἐνήργησεν ὁ Θεός, εὑρήσεις καὶ κατὰ τὸν σωματικὸν νοῦν πολλὴν ἔχον τὴν δύναμιν τὸ ῥητόν· ὅταν γὰρ Ἰωρὰμ υἱὸς Ἀχὰμ.* Τέλ. *πᾶσα δὲ ἡμῶν ἡ ἐλπὶς ἐπιστρέψαι εἰς τὴν ἀνάπαυσιν, ἵνα μετασχηματισθέντος τοῦ σώματος τῆς ταπεινώσεως ἡμῶν νοήσομεν αὐτὸ τοῦτο γενόμενον σύμμορφον τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ.*

2 (φ. 5 β). "**Γρηγορίου τοῦ Θεολόγου** Πρὸς Εὐάγριον *μοναχὸν ἐρωτήσαντα περὶ τῆς μακαρίας καὶ ἀνάρχου καὶ ἀκατονομάστου θεότητος.*"

3 (φ. 8 α). "Τοῦ **ἁγίου Κυρήλλου**" Γνώμη περὶ ψυχῆς.

4 (φ. 9 α). **Βασιλείου τοῦ μεγάλου**

α' (φ. 9 α). "*Ὁμιλία εἰς τὸν λβ' Ψαλμόν.*"—β' (φ. 17 α). "*Πρὸς μονάζοντα ἐκπεσόντα, ἐπιστολή.*"—γ' (φ. 19 α). "*Πρὸς Χίλονα ἴδιον μαθητήν.*"—δ' (φ. 31 α). "*Ἑρμηνία ἐκ τοῦ εἰς τὸν κθ' Ψαλμόν.*"—ε' (φ. 31 β). "*Ἑρμηνία ἐκ τοῦ εἰς τὸν μδ' Ψαλμόν.*"—ς' (φ. 32 α). "*Ὁμιλία πρὸς Συμπληκίαν καὶ κατ' εὐνούχων δούλων αὐτῆς.*"—ζ' (φ. 43 β). "*Πρὸς τοὺς συκοφαντοῦντας, ὅτι θεοὺς λέγει.*"—η' (φ. 47 α). "*Ὁμιλία εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν.*"—θ' (φ. 52 α). "*Κατὰ Σαβελλιανῶν καὶ Ἀρίου καὶ τῶν Ἀνομοίω.*"—ι' (φ. 58 α). "*Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεός.*"—ια' (φ. 66 α). "*Περὶ εὐχαριστίας.*"—ιβ' (φ. 74 α). "*Εἰς τὸ Πρόσεχε σεαυτῷ.*"—ιγ' (φ. 82 β). "*Ὁμιλία περὶ τοῦ ἁγίου Πνεύματος.*"—ιδ' (φ. 84 α). "*Περὶ φθόνου.*"—ιε' (φ. 91 β). "*Περὶ πίστεως.*"—ις' (φ. 94 β). "*Εἰς τὸ Ἐν ἀρχῇ ἦν ὁ λόγος.*" Τέλ. (κολ.)· *καὶ τὴν ἄχρονον συνάφειαν τοῦ υἱοῦ πρὸς πατέρα διὰ τοῦτων....*

5 (φ. 97 α). Ἀκολουθία..." τοῦ ὁσίου πατρὸς *ἡμῶν Θεοδώρου τοῦ ἐν τῇ νήσῳ Κυθήρης ἀσκήσαντος.*"

6 (φ. 116 α). " Βίος καὶ πολιτεία τοῦ ὁσίου *πατρὸς ἡμῶν Θεοδώρου τοῦ ἐν τῇ νήσῳ Κυθηρίᾳ ἀσκήσαντος.* Ποίημα **Λέοντος.**"

7 (φ. 131 α). Πεύσεις καὶ ἀποκρίσεις (ἀνεπίγρ.).

Ἄρχ. Ἐρώτησις. *Ἐάν τις πορνικῶς συμφθαρῇ μετὰ γυναικὸς αἰχμαλώτου Χριστιανῆς καὶ κατ' αὐτῶν ὀρθοδόξου, ἀκινδύνως ὡς δούλην πωλήσῃ αὐτήν;* Ἀπόκρισις. *Ἄδειαν ἔχει ὁ δεσπότης τὴν ὑπὸ τούτου πορνευομένην δούλην αὐτοῦ πωλεῖν.* Τέλ. (κολ.) *ἀλλὰ καὶ εἰς τοὺς εὐκτηρίους οἴκους....*

8 (φ. 163 α). Εὐχολόγιον (ἀκέφαλον).

9 (φ. 202 α). Ἀκολουθία τοῦ Λυχνικοῦ τῶν Θεοφανείων.

10 (φ. 216 α). Τὰ ἀναγνώσματα τοῦ ἑσπερινοῦ τοῦ Εὐαγγελισμοῦ.

11 (φ. 218 α). " Διήγησις ψυχωφελῆς, *ἐκ τοῦ ἐν τῷ* **Γεροντικῷ** *βίου τοῦ ἁγίου Σαραπίων.*"

12 (φ. 238 β). **Κυρίλλου Ἱεροσολύμων**

"*Λόγος εἰς τὴν Ὑπαπαντὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*"

13 (φ. 245 α). Διήγησις ἀνεπίγραφος.

Ἄρχ. (ἀκέφ.)...*κατασπαζόμεναι καὶ προπέμπουσαι· ἐπεὶ οὖν τὴν ὁδὸν ἐκείνην ἅπασαν κατὰ τὸν ῥηθέντα τρόπον διήνυκότες τῇ Χαλκηδονίων προσέγγισαν.*

14 (φ. 249 α). Ἀκολουθία

"*εἰς τὴν ἀνακομιδὴν τοῦ τιμίου Χρυσοστόμου.*"

15 (φ. 254 β). " Λόγος εἰς τὴν ἀνακομιδὴν *τῶν λειψάνων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου*" (κολ.).

16 (φ. 263 α). " Τοῦ ἁγιωτάτου καὶ σοφοτάτου *κῦρ* **Μάρκου τοῦ Εὐγενικοῦ**, *τῆς Ἐφέσου τοῖς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων ὀρθοδόξοις Χριστιανοῖς,* **Μάρκος** *ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως.*"

Ἄρχ. *Οἱ τὴν κακὴν ἡμᾶς αἰχμαλωσίαν αἰχμαλωτεύσαντες.* Τέλ. (κολ.) *ἐκεῖνους τὲ ἐπιγνῶναι τὴν ἀλήθειαν καὶ καταγνῶναι τῆς οἰκείας πλά[νης]...*

17 (φ. 271 α). " Διήγησις μερικὴ τῶν θαυμάτων *τοῦ ἁγίου καὶ πανενδόξου ἀποστόλου Ἀνδρέου...*"

Τέλ. (κολ.). *ἀλλὰ τολ λοιπὸν τῆς ζωῆς μου σοφρόνος διατελέσω, ἐν Χριστῷ πεποιθήα, καὶ ταῖς εὐχαῖς τοῦ διδασ[κάλου]....*

4477. 357. Χαρτ. 8. XV.

"**Γρηγορίου** τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ *πάπα τῆς πρεσβυτέρας Ῥώμης. Διάλογοι ἱστορικοὶ πρὸς Πέτρον ἀρχιδιάκονον τῆς αὐτῆς ἐκκλησίας, περὶ πολιτείας διαφόρων πατέρων, τῆς ἐν τῇ Ἰταλίᾳ διαλαμψάντων.*"

Βιβλία δ'. Τοῦ δ' βιβλίου τέλ. (κολ.)· *ἐν τούτῳ οὖν τῷ πράγματι κατανοῆσαι ἐστὶν, ὅτι ἐν ὅσῳ πάντα τὰ πταίσματα διὰ τῆς προσφορᾶς τοῦ δώρου λύονται, ποῖον βαρὺ ἁμάρτημα τὸ...*

4478. 358. Βομβ. 8. XIV.

Γρηγορίου τοῦ Θεολόγου Οἱ ις' ἀναγινωσκόμενοι λόγοι.

Ἄρχ. (ἀκέφ.) *περὶ τὸ μέσον τοῦ α' λόγου (εἰς τὸ Πάσχα καὶ τὴν βραδυτῆτα)· καὶ ἑορτάζειν οὐκ ἐν ζύμῃ παλαιᾷ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.*

4479. 359. Χαρτ. 8. XV.

Γρηγορίου τοῦ Θεολόγου Οἱ ις' ἀναγινωσκόμενοι λόγοι.

4480. 360. Χαρτ. 8. XIX.

1. **Γρηγορίου τοῦ Θεολόγου**

α'. "*Ἐξήγησις τῶν περὶ τοῦ βίου ὁδῶν ποίημα τοῦ θείου* **Γρηγορίου** *τοῦ* **Θεολόγου** *τοῦ Ναζιανζηνοῦ.*"—β'. "*Ἐξήγησις* **τοῦ αὐτοῦ** *Εἰς τὸν μέγαν Βασίλειον ἐπικήδεια εἴτε ἐπιτάφια.*"—γ'. "*Ἐξήγησις* **τοῦ αὐτοῦ** *Εἰς τὰ γνωμικὰ δίστιχα.*"—δ'. "*Ἐξήγησις* **τοῦ αὐτοῦ Γρηγορίου** *τῶν μονοστίχων γνωμῶν τῶν παραινετικῶν.*"—ε'. "*Ἀρχὴ τῆς ἐξηγήσεως τῆς ἑτέρας* **τοῦ αὐτοῦ** *παραινετικῆς γνώμης πρὸς Φιλόπονον.*"—ς'. "*Ἐξήγησις τῶν τετραστίχων γνωμῶν* **τοῦ αὐτοῦ** *θείου* **Γρηγορίου** *τοῦ* **Θεολόγου** *τοῦ Ναζηανζηνοῦ.*"

2. **Βασιλείου τοῦ μεγάλου**

α'. "Ἐξήγησις τῆς τοῦ αὐτοῦ ὁμιλίας κατὰ τῶν ὀργιζομένων." Ἐν τέλει· Εἴληφεν τέρμα καὶ αὕτη ἡ ἐξήγησις τῆς κατὰ τῶν ὀργιζομένων ὁμιλείας τοῦ Μεγάλου Βασιλείου 1804 *Μαρτίου* 27. *ὁ γραφεὺς ἐστὶν ὁ Πανάγος, ἐν τῇ κατὰ Λαγκαδίαν Ἀκαδημίᾳ.—β'. "Ἐξήγησις τῆς* **τοῦ αὐτοῦ** *Ὁμιλίας εἰς τὸ Καθελῶ μου τὰς ἀποθήκας." Ἐν τέλει·* 1804, *Ἰουνίου* 23 *ἐτελείωσα ταύτην τὴν ἐξήγησιν. Ὁ γραφεὺς ταύτης ἐστὶν ὁ Πανάγος Ἰωάννου Παπαγιανοπούλου.*

3. "Ἐξήγησις τῶν **τοῦ ἀββᾶ Νείλου** Νουθεσιῶν."

Ἐν τέλει· 1799 *Μαρτίου* 16 *ἐτελείωσα τὰς νουθεσίας τοῦ* **ἀββᾶ Νείλου.**

4. **Πλουτάρχου.**

α'. "Ἐξήγησις τοῦ περὶ παίδων ἀγωγῆς λόγου **Πλουτάρχου** *τοῦ Χαιρωνείας."—β'. "Ἐξήγησις περὶ τοῦ ἀκούειν* **τοῦ αὐτοῦ Πλουτάρχου.**"*—γ'. "Ἀρχὴ τῆς ἐξηγήσεως τοῦ Περὶ πολυπραγμοσύνης λόγου* **τοῦ αὐτοῦ Πλουτάρχου.**"

4481. 361. Χαρτ. 8. XVIII.

Γρηγορίου τοῦ Θεολόγου Λόγοι.

α'. "Εἰς Ἥρωνα τὸν φιλόσοφον ἀπὸ τῆς ἐξωρίας ἐπανελθόντα." —β'. Ἀνεπίγραφος. Ἀρχ. Ἐγκαίνια τιμᾶσθαι παλαιὸς νόμος.—γ'. "Εἰς τὴν ἁγίαν Πεντηκοστήν."—δ'. Εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν."—ε'. "Εἰς τοὺς Μακκαβαίους."—ϛ'. "Εἰς τὴν ἁγίαν Πεντηκοστὴν καὶ εἰς τὴν κάθοδον τοῦ παναγίου Πνεύματος."—ζ'. "Πρὸς τοὺς τευομένους ἀγωνιῶντα ἐν Ναζιανζῷ καὶ τὸν ἄρχοντα ὀργιζόμενον."—η'. "Εἰς τὸν ἅγιον μάρτυρα Κυπριανὸν λόγος."—θ'. "Εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης."—ι'. "Εἰς τὰ ἅγια Φῶτα· τῶν Ἐπιφανείων λόγος."—ια'. "Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς βασιλέως δεύτερος."—ιβ'. "Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς πρῶτος."—ιγ'. "Συγκομηδὴ καὶ ἐξήγησις ὧν ἐμνήσθην ἱστορικῶν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεολόγος ἐν τῷ πρώτῳ τῶν στηλιτευτικῶν."—ιδ'. "Ἱστορίαι ἐν τῷ εἰς Βασίλειον ἐπιταφείῳ."—ιε'. "Ἑρμηνεία εἰς τὸν πρῶτον στηλιτευτικὸν λόγον (*ἀκέφ.*).

Τὰ ὑπ' ἀρ. α'—ιβ' μετὰ διαστίχου ἐξηγήσεως καὶ παρασελιδίων σημειώσεων.

4482. 362. Χαρτ. 8. XVIII.

1. **Γρηγορίου τοῦ Θεολόγου** Λόγοι.

α'. Πρὸς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας (*ἀνεπίγραφος*). *—β'. "Εἰς τὸν αὐτοῦ πατέρα, ἐν ᾧ καὶ εἰς Νόνναν μητέρα παραμυθητικός."*

Μετὰ διαστίχου ἐξηγήσεως καὶ παρασελιδίων σημειώσεων, ὧν ἡ ἀρχὴ "Εἰς τὸν β' λόγον προδιοίκησις. Ἄκων χειροτονηθεὶς πρεσβύτερος ὁ μέγας οὗτος Θεολόγος παρὰ τοῦ ἰδίου πατρὸς εἰς τὸν Πόντον ἔφυγε.

Ἐν τέλει τοῦ β'· Ἐν τέλει αψμε$^{\omega}$, Μαΐου ἀρχομένου (=1745). *Ἐν τῇ κατὰ Πάτμον σχολῇ.*

2. "Περικοπαὶ τινὲς ἑρμηνευθεῖσαι

ἐκ τῆς Λατινίδος φωνῆς εἰς τὴν Ἑλληνίδα παρὰ τοῦ σοφωτάτου καθηγητοῦ ἡμῶν **Μακαρίου ἱεροδιακόνου Πατμίου**..."

3. **Γρηγορίου τοῦ Θεολόγου** "Ἀπολογητικὸς

τῆς εἰς τὸν Πόντον φυγῆς ἕνεκεν..."

4. "**Συνεσίου** Εἰς τὸν αὐτοκράτορα Ἀρκαδιον περὶ βασιλείας."

5. **Γρηγορίου τοῦ Θεολόγου**

α'. "Ἐπιτάφιος εἰς Καισάρ[ιον]."—β'. "Εἰς τὸ ἅγιον Πάσχα."

Καὶ τὰ ὑπ' ἀρ. 3—5 *μετὰ διαστίχου ἐξηγήσεως καὶ παρασελιδίων σημειώσεων.*

4483. 363. Χαρτ. 8. XIX.

Γρηγορίου τοῦ Θεολόγου Λόγοι.

α'. "Ἀπολογητικὸς τῆς εἰς τὸν Πόντον φυγῆς."—β'. Ἐπιτάφιος εἰς Βασίλειον Καισαρείας.—γ'. Εἰς τὸν μέγαν Ἀθανάσιον. —δ'. Ἐξήγησις εἰς τὸν Ἀπολογητικόν.—ε'. "Ἐξήγησις τοῦ Ἐπιταφίου λόγου." Ἐν ἀρχῇ· 1816 *ἐν μηνὶ Ἰαννουαρίῳ. —ϛ'. Ἐξήγησις τοῦ εἰς τὸν μέγαν Ἀθανάσιον λόγου.—ζ'. "Τοῦ* **ἁγίου Γρηγορίου** *Κατὰ Ἀπολιναρίου πρὸς Κληδόνιον πρεσβύτερον" ἐπιστολαὶ β'.—η'. "* **Τοῦ αὐτοῦ** *Πρὸς Νεκτάριον ἐπίσκοπον Κωνσταντινουπόλεως."*

4484. 364. Χαρτ. 8. XVIII.

1. Λόγοι πανηγυρικοὶ η' ἐν τῇ καθωμιλημένῃ.

Εἰς τὸν Εὐαγγελισμόν, τὴν Κυριακὴν πρὸ τῆς Χριστοῦ γεννήσεως, τὰ Εἰσόδια κτλ.

2. "**Βασιλείου τοῦ μεγάλου** Πρὸς μοναχὸν ἐκπεσόντα."

Ἐν τῇ εὐρυτέρᾳ πρὸς τὰ δεξιὰ ᾤᾳ μετάφρασις τοῦ λόγου εἰς τὴν καθωμιλημένην.

3. Λόγος εἰς τὰ Εἰσόδια ἐν τῇ καθωμιλημένῃ.

4. **Γρηγορίου τοῦ Θεολόγου**

α'. Τετράστιχα νθ', ὧν προηγεῖται Ἐπίγραμμα δίστιχον. Τὰ πρῶτα ιϛ' εὕρηνται μεταπεφρασμένα εἰς τὴν καθωμιλημένην ἐν τῇ πρὸς τὰ δεξιὰ ᾤᾳ.—β'. " **Τοῦ αὐτοῦ** *Γνῶμαι παραινετικαὶ μονόστιχοι κατὰ στιχεῖον ἰαμβικόν."*

4485. 365. Χαρτ. 8. XV.

1. **Ἀθανασίου Ἀλεξανδρείας** Ἐρωτήσεις καὶ ἀποκρίσεις.

2. "Πόσαι εἰσὶν αἱ ἐργασίαι, δι' ὧν θεραπεύεται ὁ Θεός."

3. **Ἰωάννου τοῦ Χρυσοστόμου**

"Περὶ δεῖ μὲν ἡμᾶς δεῖσθαι τῆς ἀπὸ τῶν γραμμάτων βοηθείας, ἀλλὰ βίον καθαρὸν παρέχεσθαι."

4. **Ἐκ τῶν Ἀσκητικῶν Βασιλείου τοῦ μεγάλου.**

5. **Ἀδήλου** Λόγοι νηπτικοί.

α'. Περὶ τοῦ μαρτυρίου τῆς ἀνδρείας ὑπακοῆς.—β'. "Περὶ τῆς ὑψίστου ταπεινοφροσύνης."—γ'. Περὶ τῶν ἀνεκφράστων τῆς δεινῆς βλασφημίας λογισμῶν.—δ'. Περὶ διαιρέσεως λογισμῶν καὶ παθῶν καὶ ἀρετῶν.—ε'. Περὶ τοῦ ἔχειν ἡμᾶς τὴν ἐλπίδα ἡμῶν εἰς Θεόν.—ϛ'. Περὶ μετανοίας μεμεριμνημένης καὶ ἀληθῶς ἐναργοῦς.—ζ'. Περὶ τοῦ χαροποιοῦ πένθους.—η'. Περὶ ἀοργησίας καὶ πραότητος.—θ'. Περὶ καταλαλιᾶς.—ι'. Περὶ πολυλογίας καὶ σιωπῆς.—ια'. Περὶ ψεύδους.—ιβ'. Περὶ ἀκηδίας.—ιγ'. "Περὶ τῆς παμφίμου καὶ δεσποίνης, λέγω δὴ τῆς πονηρᾶς γαστρὸς καὶ περὶ νηστείας."—ιδ'. Περὶ τῆς ἀφθάρτου καὶ εὐώδους ἁγνείας.—ιε'. "Περὶ ἀκτημοσύνης ἐν ᾧ καὶ περὶ φιλαργυρίας."—ιϛ'. "Περὶ ἀκτημοσύνης."—ιζ'. Περὶ ἀναισθησίας ἤγουν νεκρώσεως ψυχῆς καὶ θανάτου νοός.—ιη'. Περὶ ὕπνου καὶ προσευχῆς.—ιθ'. Περὶ ἀγρυπνίας σώματος καὶ πῶς δεῖ ταύτην μετιέναι.—κ'. Περὶ δειλίας τῆς ἀνάνδρου καὶ νηπιώδους.—κα'. Περὶ τῆς πολυμόρφου κενοδοξίας.—κβ'.

Περὶ ὑπερηφανείας.—κγ'. "Περὶ τῆς τῶν παθῶν ἀπωλείας, τῆς ὑψίστου ταπεινοφροσύνης ἀοράτων αἰσθήσεων."—κδ'. Περὶ διακρίσεως εὐδιακρίτου.—κε'. Ἀνακεφαλαίωσις τῶν προειρημένων πάντων.—κϛ'. Περὶ τῆς ἱερᾶς σώματος καὶ ψυχῆς ἡσυχίας.—κζ'. Περὶ διαφορᾶς καὶ διακρίσεως ἡσυχίας.—κη'. "Περὶ ἡσυχίας, ἐξ ἰδιορυθμίας διὰ δόξαν ἀνθρώπων, δι' ἀσθένειαν γλώσσης, διὰ πλήθους προσπαθείας...."—κθ'. Περὶ τῆς ἱερᾶς μητρὸς τῶν ἀρετῶν τῆς μακαρίας προσευχῆς.—λ'. "**Διαδόχου** ἐπισκόπου **Φωτιστικῆς** (γρ. **Φωτικῆς**) τῆς Ἠπείρου Ἀπόδειξις ὅρων καὶ λόγος ἀσκητικὸς τοῖς ἀκριβῶς σπένδουσιν."—λα'. Περὶ ποιμένων.—λβ'. "Περὶ ἀνυποταξίας τοῦ γογγυσμοῦ."—λγ'. Περὶ φόβου Θεοῦ.—λδ'. Περὶ ἐλεημοσύνης καὶ ἀγάπης καὶ ἐπισκέψεως.—λε'. Περὶ τοῦ φεύγειν ἡμᾶς ἐκ τῶν γυναικῶν.—λϛ'. Περὶ πειρασμῶν καὶ ὑπομονῆς.

Προτάσσεται ἐν ἀρχῇ τοῦ κώδικος ἀκριβὴς πίναξ τῶν περιεχομένων, εἰσὶ δὲ ἅπαντα ἠριθμημένα διὰ τοῦ λόγ. α', λόγ. β' μέχρι τοῦ μ'.

4486. 366. Χαρτ. 8. XVII. (φ. 158).

"**Γρηγορίου** λόγοι **τοῦ Θεολόγου** ἑρμηνευμένοι."

Ἐν τῇ καθωμιλημένῃ· εἰσὶ δὲ ιϛ', οἱ ἀναγινωσκόμενοι, ὧν α' Εἰς τὸ Πάσχα καὶ τὴν βραδυτῆτα,...ιϛ' Περὶ φιλοπτωχίας.

Ἐν τέλει·...κατὰ τὸ αχνζ' Δεκεμβρίῳ κδῃ (=1657) Ἀθήνησι ἤνυσται διὰ χειρὸς Δαμασκηνοῦ Ῥινέσου.

***4487.** 367. Χαρτ. 8. XV.

"Ὡρολόγιον σὺν Θεῷ τῶν ὕμνων καὶ Εὐχαὶ μετὰ τροπαρίων εἰς τὸ Ψαλτήριον· εἰσὶ δὲ πόνημα **Θηκαρᾶ μοναχοῦ**."

Ἡ ἀρχὴ μετὰ τῆς ἐπιγραφῆς εὕρηται μετατεθειμένη, τοῦ κώδικος, ὡς νῦν ἔχει, ὄντος ἀκεφάλου· ἔστι δὲ καὶ ἐλλιπὴς φύλλων, ἡ δὲ τάξις τῶν σῳζομένων ἐστὶ πολλαχῶς συγκεχυμένη.

Ἐν τέλει· Θεοῦ τὸ δῶρον καὶ πόνος χειρῶν Νήφου.

Κοσμεῖται ὑπὸ τεσσάρων, δι' ὑδαρῶν χρωμάτων γεγραμμένων, εἰκόνων, τῶν τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου, Γρηγορίου τοῦ Θεολόγου, Βασιλείου τοῦ μεγάλου καὶ Θεοδώρου τοῦ ἡγιασμένου.

4488. 368. Χαρτ. 4. XV. (φ. 110).

1 (φ. 1 α). Εὐχὴ ἀπολυτήριος τοῦ Πάσχα.

2 (φ. 3 α). **Ἀνδρέου Κρήτης**

α' (φ. 3 α). Εἰς τὸ γενέσιον τῆς Θεοτόκου.—β' (φ. 10 β). Εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ.

3 (φ. 15 α). **Γερμανοῦ Κωνσταντινουπόλεως**

Εἰς τὰ εἰσόδια τῆς Θεοτόκου.

4 (φ. 23 α). **Ἰωάννου τοῦ Χρυσοστόμου**

Εἰς τὸν Ἀβραὰμ καὶ τὸν Ἰωσήφ.

5 (φ. 42 α). **Βασιλείου τοῦ μεγάλου**

Εἰς τὸ γενέθλιον τοῦ Χριστοῦ.

6 (φ. 61 α). **Ἀνδρέου Κρήτης**

α' (φ. 61 α). Εἰς τὴν Μεταμόρφωσιν.—β' (φ. 78 α). Εἰς τὴν Κοίμησιν.

7 (φ. 93 β). **Ἰωάννου τοῦ Χρυσοστόμου**

Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου καὶ περὶ γυναικῶν πονηρῶν καὶ ἀγαθῶν.

8 (φ. 101 α). **Ἐπιφανίου Κύπρου** Εἰς τὴν ταφὴν τοῦ Χριστοῦ καὶ εἰς τὸν Ἰωσὴφ τὸν ἀπὸ Ἀριμαθίας.

Ὁ κῶδιξ γέγραπται ἐν μέρει κατὰ δύο σελίδας. Τὰ δὲ φύλλα ἐνιαχοῦ μὲν συγκεχυμένα τὴν τάξιν, τινὰ δὲ καὶ λείπουσι.

***4489.** 369. Χαρτ. 4. XVII.

1 (φ. 1 β). "Στίχοι εἰς τὸν ἅγιον Ἀθανάσιον τὸν πατριάρχην."

Χρυσοῖς κεφαλαίοις γράμμασι γεγραμμένοι ἔχουσιν ὧδε·

Ἔρωτι τῷ σῷ καρδίαν τετρωμένος
ἱμειρόμην μάλιστα καὶ τὴν εἰκόνα
τὴν σὴν βλέπειν μέγιστε πατέρων κλέος.
Ἐπεὶ δὲ ταύτην ἠξίωμαι τοῦ βλέπειν
πάλιν δυσωπῶ σαῖς λιταῖς πανιέροις
καὶ τοῦ πυρὸς ῥῦσαι μαι τοῦ αἰωνίου
κλῆρον παρασχὼν ἐν μοναῖς οὐρανίοις
ὡς ἂν κακεῖ βλέπων σε γάννυμαι πλέον.
ὁ Βασίλειος ταῦτά σοι τῷ δεσπότῃ.

2 (φ. 2 α). Ἀκολουθία ὁσίου Ἀθανασίου πατριάρχου Κωνσταντινουπόλεως.

3. "Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως."

4. "Ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἀθανάσιον πατριάρχην Κωνσταντινουπόλεως."

Ἐν τέλει· Τὸ παρὸν βιβλίον ἐγράφη διὰ χειρὸς Ἰωαννικίου εὐτελοὺς ἱερομονάχου διὰ συνδρομῆς τοῦ ὁσιωτάτου κῦρ Θεοφάνους μοναχοῦ, ἐν ᾗ καὶ ἀφιέρωται παρ αὐτοῦ εἰς τὴν μονὴν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ νέου, εἰς τὴν σκήτει τῶν τῶν Ἰβήρων· ὁ δὲ βουληθεὶς ποτέ τις ἀποξενῶσαι αὐτῷ ἀπὸ τὴν αὐτὴν ἁγίαν μονὴν οὐκ ἀτιμώρητος ἔσεται. Ἐν ἔτει ͵ζρκδ' ἰνδικτιῶνος ιδ' (=1616).

Κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων, ἐν δὲ φ. 2 α ὑπὸ ἀξίας λόγου εἰκόνος τοῦ ὁσίου Ἀθανασίου.

4490. 370. Χαρτ. 4. XIV.

1 (φ. 1 α). Δένδρον φιλοσοφικῶν διαιρέσεων.

2 (φ. 4 α). "Τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου καὶ φιλοσοφωτάτου **Ἰωάννου** πρεσβυτέρου **τοῦ Δαμασκηνοῦ**" Κεφάλαια φιλοσοφικά.

Ἡ τάξις τῶν κεφαλαίων διάφορος ἢ παρὰ τῷ Migne xciv.

3. **Ἰωάννου τοῦ Δαμασκηνοῦ**

"Ἔκδωσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως."

Ἡ τάξις τῶν κεφαλαίων διάφορος ἢ παρὰ τῷ Migne xciv.

4. **Ἀθανασίου Ἀλεξανδρείας** "Μαρτυρίαι ἐκ τῶν ἁγίων Γραφῶν καὶ ἀποδείξεις ὅτι ὁ Χριστὸς υἱὸς Θεοῦ ἐστιν, καὶ περὶ τῆς ἐνανθρωπήσεως, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως."

Ἀρχ. Ὅτι μὲν Θεὸς καὶ Κύριος ἐστὶν ὁ Χριστός, οἱ προφῆται μαρτυρούσιν. Τέλ. πρόδηλον, ὅτι ὁ Ἀντίχριστος ἐστίν· ὁ γὰρ ἐρχόμενος ἀνελεῖ αὐτὸν, τῷ πνεύματι τοῦ στώματος αυτοῦ.

5. "Ἐκ τῶν τοῦ μεγάλου **Γρηγορίου τοῦ Θεολόγου** Δογματικά."

Ἀρχ. Θεός ἐστιν ἀΐδιος οὐσία καὶ ἀπαράλλακτος, δημιουργικὴ τῶν ὄντων σοφία. Τέλ. τὸ πνεῦμα ἐξαχῶς

λέγεται· πνεῦμα ὁ Θεός, πνεῦμα ὁ ἄγγελος, πνεῦμα ἡ ψυχή, πνεῦμα ὁ νοῦς, πνεῦμα ὁ δαίμων, πνεῦμα ὁ ἄνεμος.

6. "Σημειώσεις χρονικαὶ ἀπὸ Ἀδάμ.

7. Περὶ τοῦ "Ὅτι ὄγδοος εὑρίσκεται ὁ Χριστὸς *ἐγερθεὶς ἐκ νεκρῶν.*"

8. "Κεφάλαια ψυχωφελῆ."

Μετὰ προλόγου, οὗ ἡ ἀρχή· Δύο ὁδοὶ εἰσὶν ἀγαπητοὶ πρὸ προσώπου ἡμῶν, τοῦ θανάτου καὶ τῆς ζωῆς. Ἀρχὴ τῶν Κεφαλαίων· *Πρὸ πάντων φοβοῦ τὸν Θεὸν καὶ ἀεὶ μνημόνευε τοῦ θανάτου πάντοτε.*

9. Ἕτερα κεφάλαια.

Ἀρχ. *Μὴ γίνου ἀκηδιαστὴς μηδὲ ἀναγινώσκων χασμάσαι. Μηδὲ πρὸς ὕπνον καταφέρεσαι εὐχερῶς.*

10. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Κεφάλαια ψυχοφελῆ."

Ἀρχ. *Ἀναγινώσκετε τὰς τοῦ Σωτῆρος διδασκαλίας καὶ μανθάνετε, ὅτι απελθόνων ἡμῶν ἐντεῦθεν.* Τέλ. (κολ.) *καὶ τὸν μὲν ἔξωθεν καλλωπισμὸν πολλὺς ὁ μόχθος, πολλὴ ἡ φροντῆς· τῶν δὲ κατα ψυχην καλλωπισμόν, οὐδε ἧς ἀλλ' ἔσωθεν γέμοντα....*

11. Κεφάλαια ἀνεπίγραφα.

Ἀρχ. *Ἄγγελον ἔχειν ὁδηγόν, πιστούμεθα ἀγαπητοί· πᾶς πιστὸς ἄνθρωπος, ὡς φησὶν ἐν τοῖς εὐαγγελίοις ὁ Κύριος.* Τέλ. *καὶ ἠρεμὰ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας καὶ τὰ παρ' ἑαυτοῦ πάντα, ἐπιδεικνύμενος ἐγκαταληφθῆναι ποτὲ παρὰ τοῦ Κυρίου.*

12. Ἀδήλου Λόγος ἀνεπίγραφος.

Ἀρχ. (ἀκέφ.)...*κατὰ τοῦτο πλέον ἔχειν ἑαυτῶν παρεχώρησαν, ὅτι μὴ μόνῳ τῷ λόγῳ, καὶ ταῖς περὶ αὐτῶν λογικαῖς καὶ νοεραῖς φύσεσιν.* Τέλ. *αὐγασθῶμεν ἐγγύτερον καὶ τρανώτερον τῷ φωτὶ τῆς ἁγίας καὶ πανυμνήτου Τριάδος, ὑπὲρ ἧς πᾶς λόγος ἡμῖν καὶ πᾶν ἔργον καὶ σπούδασμα· ὅτι αὐτῇ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

13. **Ἰωάννου τοῦ Δαμασκηνοῦ**

"*Περὶ τῶν κεκοιμημένων, ὅπως αἱ ὑπὲρ αὐτῶν γινόμεναι λειτουργίαι καὶ εὐποιΐαι τὰ μέγιστα ὠφελοῦσιν.*"

14. **Γρηγορίου Ἀντιοχείας** "Λόγος

εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν Ἰωσὴφ τὸν ἀπὸ Ἀριμαθαίας καὶ εἰς τὴν τριήμερον ἀνάστασιν."

15. Ἀνεπίγραφον.

Ἀρχ. [Ο]*ἶδόν τι πάσχουσιν πρὸς τοῦς πολυάνθεῖς τῶν λειμώνων οἱ τούτοι φιλοθεάμμονες.* Τέλ. (κολ.) *Τίς οὖν ἐστιν ὁ χρηματίσας τῷ Ἀβραὰμ ἄρα ὁ πατήρ· ἀλλ' οὐκ ἂν εἴπῃς ἄγγελόν τι...*

Ἀπὸ μέσου τοῦ ὑπ' ἀρ. 12 *αἰῶνος* XV.

4491. 371.

Περγ. Χάρτ. 4. XIII. XVI. (φ. 627).

"Συναγωγὴ ἐξηγήσεων

εἰς τὸ κατὰ **Λουκᾶν** *ἅγιον Εὐαγγέλιον ἐκ διαφόρων ἑρμηνευτῶν παρὰ* **Νικήτα διακόνου** *τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ διδασκάλου γεγονυῖα.*"

Ἡ ἑρμηνεία ἐλήφθη ἐκ τῶν λόγων διαφόρων πατέρων, "**τοῦ Χρυσοστόμου, τοῦ Φωτίου, Γρηγορίου τοῦ Θεολόγου, Ὠριγέννους, Κυρίλλου, Σεβηριανοῦ, Ἀντιόχου, Θεοδωρίτου, Ἀθανασίου Ἱεροσολύμων, Εὐσεβίου, Συμεὼν, Βασιλείου τοῦ μεγάλου, Ἀντιπάτρου Βόστρων, Ἰσιδώρου, Σεβήρου Ἀντιοχείας, Γρηγορίου Νύσσης, [Ἰωάννου] τοῦ Γεωμέτρου, Μαξίμου, Ἐπιφανίου, Τίτου Βόστρων, Ἀνδρέου, Δαμασκηνοῦ, Εἰρηναίου, Βίκτωρος, Ἰουστίνου, Φλαβιανοῦ, Μεταφραστοῦ, Ἀμβροσίου, Μακαρίου, Ἀλεξάνδρου μοναχοῦ, Θεοφάνους, Ἐφραὶμ, Διονυσίου Ἀρεοπαγίτου, Θεοδότου, Ἱππολύτου, Κοσμᾶ μοναχοῦ, Ἀναστασίου, Νείλου, Εὐσεβίου τοῦ Παμφίλου, Ἰωάννου τῆς Κλίμακος, Κλήμεντος, Ἰγνατίου, Θεοδώρου Μοψουεστίας, Ἀφρικανοῦ, Θεοδώρου Ἀσυγχύτου, Τίτου, Μάρκου μοναχοῦ, Ἰουστίνου μάρτυρος, Ἰσαὰκ μοναχοῦ, Γενναδίου, Ἰωσήπου, Ὁμίλου (;), ἐκ τοῦ Ἐκκλησιαστοῦ, Λυσίου, Νικήτα τοῦ καὶ Δαβὶδ, Ἀστερίου, Νικήτα Παφλαγῶνος, Καρπάθου, Κλήμεντος Στρωματέως, Ἀνέπου (;), Κλήμεντος παιδαγωγοῦ, Εὐαγρίου**" *ὧν τὰ ὀνόματα εὕρηνται ἀναγεγραμμένα ἐν φ.* 2 α.

Τὰ δ' ἐξηγημένα κεφάλαια τοῦ Εὐαγγελίου κατὰ Λουκᾶν εἰσὶ πγ', ὧν τὰ μὲν πρῶτα λζ' περιλαμβάνονται ἐν τῷ πρώτῳ μέρει τοῦ κώδικος, φ. 1—409 (Περγ. XIII.), *μένοντι κολοβῷ, τὰ δὲ λοιπὰ ἐν τῷ δευτέρῳ μέρει, φ.* 410—626 (Χαρτ. XVI.). *Καὶ τὸ μὲν πρῶτον μέρος τελευτᾷ κολοβὸν ἐν τῇ εἰς τὸ πρῶτον τεμαχιον τοῦ λζ' Εὐαγγελίου ἑρμηνείᾳ* **Εὐαγρίου·** *ὥσπερ καὶ τὴν φιλομαθεστάτην αὐτῆς ἀδελφὴν Μαρίαν, ἡ τοῖς τοῦ Σωτῆρος ποσὶ προσιζήσασα, τῶν παρ' αὐτοῦ διδαγμάτων τὴν ἑαυτῆς ἐμπίμπλησι φρένα· ὀνίνησι δὲ πάλιν καὶ διὰ τούτων ὁ Σωτὴρ τοὺς ἑαυτοῦ μαθητὰς....Τὸ δὲ δεύτερον μέρος τοῦ κώδικος ἄρχεται ἀκέφαλον ἐν μέσῳ τοῦ λη' κεφαλαίου·...ὅτι πρὸς τὰς ἐναντίας ὁρμὰς κινεῖσθαι τὸ θεῖον ἐπιθυμεῖ, εἰς ἀγριότητα καὶ φιλανθρωπίαν μερίζων τοῦ Θεοῦ τὴν ἐνέργειαν, ὃν ἵλεων ἐπιζητεῖ ἑαυτῷ εἶναι, τοῦτον πικρὸν τοῖς ἐχθροῖς ἐπιδειχθεῖναι παρακαλεῖ.* **Πάτερ ἡμῶν ἐν τοῖς οὐρανοῖς.** *Οἱ ἐμπαθεῖς τὴν ψυχήν, ὀργῆς, τέκνα προσαγορεύονται, καὶ ὁ τῆς ζωῆς ἀποστὰς υἱὸς ἀπωλείας ὀνομάζεται.* —

Ἐν τέλει· Ἐτελειώθη τὸ παρὸν βιβλίον εἰς δόξαν καὶ ἐκ χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· κόπου δὲ καὶ σπουδῆς ἐμοῦ τοῦ εὐτελοῦς Διονυσίου ἱερομονάχου...ἔτους ζμγῳ ἰνδος. η' (=1534). *Μετὰ δὲ τὴν σημείωσιν ταύτην ἕπονται τάδε·* Τὸ παρὸν βιβλίον ἐγράφη παρ' ἐμοῦ τοῦ εὐτελοῦς ἱερομονάχου τοῦ καὶ Διονυσίου καὶ προηγουμένου τοῦ οἰκοῦντος ἐν τῷ εὐκτηρίῳ οἴκω ἤτοι κελλίον τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Πορτιατήσης τῷ διακειμένῳ τῇ σεβασμίᾳ καὶ βασιλικῇ μονῇ τῶν Ἰβήρων ἐν τῷ τοῦ Ἄθωνος ὄρει τοῦ εἰς ὄνομα τιμωμένου τοῦ τιμίου μου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Ἀνατίθεται οὖν αὐτὸ καὶ τὰ ἕτερα βιβλία ὅπου ἔγραψα ἐν τῷ αὐτῷ κελλίῳ, ἤγουν τὸ βιβλίον τὸ ἔχει Ἐκλογὴ ἐκ τοῦ πατερικοῦ καὶ Λόγους Μιχαὴλ τοῦ Γλυκὰ καὶ τὸ ἕτερον ὅπου ἔχει τὸν Ἐκκλησιαστὴν ἐξηγημένον καὶ Περὶ τῆς ὀρθοδόξου πίστεως καὶ κατὰ Λατίνων καὶ Νόμιμον καὶ τὸ ἕτερον τὸν Ἐκκλησιαστικὸν Διάλογον Συμεὼν τοῦ ἐν Θεσσαλονίκης καὶ τὸ ἕτερον τὸ ἔχον Ψαλτήριον με τὴν ἑβδομαδαρέαν καὶ ἄλλας ἀκολουθίας, καὶ τὸ ἕτερον ὅπου ἔχει Μετάληψιν Ὡρολόγιον καὶ Εὐχαῖς καὶ τὸ ἕτερον ὅπου ἔχει ταῖς τρεῖς λειτουργίαις καὶ τὰ Ἀποστολοεὐάγγελα τῆς ἑβδομαδαρέας καὶ εἰς ὁσίους ἱεράρχας προφήτας καὶ μάρτυρας, ἀλλὰ καὶ τὸ ἕτερον τὸ παχὺ ὅπου ἔγραψα ἐν τῇ μεγάλῃ μονῇ τῆς Πορτιατίσης ἐν τῷ νοσοκομίῳ ὅταν ἐκαθεζόμην ἐκεῖ· ὅποιω ἔχει εἰς τὴν ἀρχὴν Λόγους κῦρ Μιχαὴλ τοῦ Γλυκὰ· τὸ πλῆστον δὲ Ἐκλογὴ Συμεὼν τοῦ νέου Θεολόγου καὶ Μακαρίου τοῦ ὄντως μακαρίου τοῦ μεγάλου ἀσκητοῦ καὶ ἑτέρων ἀσκητῶν καὶ διδασκάλων· ἀλλὰ καὶ τὸ ἕτερον βιβλίον τὸ παχὺ τὸ μέγα τὸ εἰς δεύτερον μῖκος, τὸ πολύβιβλον ὅπερ ἔγραψα ἡγουμενεύοντός μου ἐν τῇ αὐτῇ ἁγίᾳ μεγάλῃ μονῇ τῆς Πορτιατίσης ἐν ἔτει ,ζκῳβ (=1514). Ἀλλὰ καὶ τὸ ἕτερον, ὅπερ εὗχα γεγραμένω πρὶν ἔλθω εἰς τὸ μοναστήρι, ἔχει δὲ αὐτὸ Πατερικὸ, Κλήμακα καὶ τὸν Ἅγιον Δωρόθεον· ἀναθέτω δὲ καὶ τὸν Θηκαρὰ, ὅπερ ὀνισάμην πρὶν ἐλθεῖ με εἰς τὸ μοναστήρι· ἀνατίθενται οὖν ἀμφότερα καὶ ἀφιεροῦνται ἐν αὐτῷ τὸ εἰρημένω κελλίω ἀνασπάστως καὶ ἀναφεραίτως καὶ μὴ ἀποξενῶσαι αὐτὰ τις ἐντεῦθεν, ἵνα μὴ πέσει εἰς βάρος, εἰ δὲ συμβῆ, ἐρημοθῆναι τὸ κελλίον διὰ τὸν ἐμὸν ἁμαρτιῶν, ὅπερ ἀπεύχομε, δεῖ λαμβάνειν αὐτὰ ὁ ἡγούμενος τῆς μονῆς τῶν Ἰβήρων τῆς Πορτιατίσσης καὶ ἔχειν αὐτὰ ἐν τῇ βασιλικῇ μονῇ εἰς τὸ σκευοφυλάκιον εἰς φύλαξιν ἕως ἂν πάλιν οἰκειωθῇ τὸ εἰρημένον κελλίον τοῦ τιμίου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου καὶ μὴ σκορπίσῃ αὐτὰ ἔνθεν κἀκεῖθεν ἔξω τῆς βασιλικῆς μονῆς ἢ εἰς στράτα ἢ ἄλλοθεν ποῦ. Μόνον ἔσωθεν τῆς βασιλικῆς μονῆς ἥτις θελήσει ἐντύχει ἐξ αυτῶν να διαβάσει ἢ ἀκολουθία ἢ ἄλλο τί, νὰ λάβει ἐξ' αὐτῶν ὅποιον καὶ βούλεται καὶ τοῦτο εἰδήσει τοῦ ἡγουμένου καὶ πάλιν νὰ δήδῃ αὐτὸ εἰς τὸν ἡγούμενον νὰ ἔχει αὐτὰ εἰς φύλαξιν ἐν τῷ σκευωφυλακίῳ ἕως ἂν πάλιν οἰκειωθῇ τὸ κελλίον καθὼς ἄνωθεν γράφωμεν· διὸ οἱ ἐντυγχάνοντες αὐτοῖς καὶ ἐν τῷ εἰρημένῳ κελλίῳ οἰκοῦντες εὔχεσθαί μοι τῷ ἁμαρτωλῷ ὡς οὐ μετρίως ἐπάσχισα εἰς ἀνάκτισιν τοῦ κελλίου καὶ τῆς ἐκκλησίας καὶ τῆς πηγῆς καὶ τοῦ φραγμοῦ καὶ τῶν δένδρων· πάντα γὰρ ἀφανισμένα ἦσαν καὶ Θεοῦ βοηθείᾳ καὶ δυνάμει τῆς ὑπεραγίας Θεοτόκου τῆς Πορτιατίσης καὶ τοῦ τιμίου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐκ βάθρου ἀνεστήσαμεν ἐγώ τε καὶ ὁ μετ' ἐμοῦ ἀδελφὸς Σπηρίδων· τρέχει δὲ ἄρτι ἔτος ,ζμος γ' καὶ μὴν Δεκέμβριος ἰνδος η' (=1534). *Ἕπεται δὲ βιογραφικὸν σημείωμα περὶ τοῦ βιβλιογράφου.*

4513. 393. *Χαρτ.* 8. XVII.

Θηκαρᾶς.

Ἐν τέλει· Τῶ παρὸν βοιβλοιῶν ὠνομαζώμενον Θεικαρᾶς ἐπ'άρχει καμοῦ τοῦ εὐτελοὺς Συμεὸν μοναχοῦ καὶ Χατ'ζοὶ ἐλάχιστοῦ...καὶ ἐτελιώθη με χάρις Χριστοῦ κατα τὸ ἐτοὺς 7150—,ζρν' ἰνδ. ι' ἐν μινοὶ ἰούνιο εἰς τὰς κβ' εἰμέρὰ τετράδι ὥρα γ'...(=1642).

4514. 394. Χαρτ. 8. XV.

Ἀδήλου Συγγραφὴ θεολογική.

Ἀρχ. (ἀκέφ.)...ουσι δὲ ἀνοιξειν ἐπαγγειλάμενος οὐκ ἐάσει πόρρω που τῆς ἀληθείας ἀποπλανᾶσθαι· ἐπεὶ τοίνυν εἴρηται δίδου [σοφῷ] ἀφορμὴν καὶ σοφώτερος ἔσται, οἷον αὐτὸν εἶναι σε φημὶ καὶ οὐδὲ πρὸς φιλονεικίαν οὐδὲ δοξοσοφίαν ἀντιποιούμενον τὴν δὲ τοῦ πράγματος ἀλήθειαν συνετῶς καὶ φρονίμως ἐπιζητοῦντα καταλαμβάνω προθυμότερον ἐκθήσομαι τὸ ζητούμενον.

4515. 395. Χαρτ. 8. XVII. (φ. σλϛ').

1 (φ. 1 α). **Ἰωάννου τοῦ Καντακουζηνοῦ** Ἀπολογία τῆς Χριστιανικῆς πίστεως κατὰ Μωαμεθανῶν.

"Τὸ παρὸν βιβλίον ἐξετέθη παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως τῶν Ῥωμαίων κυροῦ **Ἰωάννου τοῦ Καντακουζηνοῦ** τοῦ διὰ τοῦ μοναχικοῦ σχήματος μετονομασθέντος **Ἰωάσαφ μοναχοῦ**, ἡ δὲ ὑπόθεσις ἐστὶν αὕτη."

Ἀρχ. Ἀρχαιμενίδης τις εἰς ἄνδρας ἐλαύνων ἤδη.

2 (φ. ρμγ' α). **Τοῦ αὐτοῦ** Κατὰ Μωάμεθ λόγοι δ'.

3 (φ. σκ' α). [**Βαρθολομαίου τοῦ Ἐδεσσηνοῦ**]

"Διήγησις περὶ τοῦ Μωάμεθ τοῦ ψευδοπροφήτου τῶν Ἀγαρηνῶν καὶ περὶ τῆς γενεᾶς αὐτοῦ καὶ πόθεν ἐφάνη καὶ ποῦ ἐγεννήθη."

Ἀρχ. Οὗτος ὁ Μωάμεθ ἦτον υἱὸς τοῦ Ἀβτουλᾶ καὶ ὁ Ἀβτουλὰς υἱὸς τοῦ Ἀμπελ Μουτάλεπ, καὶ ὁ Ἀμπὲλ Μουτάλεπ υἱὸς Ἀσὲμ, ὁ Ἀσὲμ υἱὸς Ἀδελμουνέφη· ὁ Ἀδελμουνέφης υἱὸς Κουσή· ὁ Κουσῆς υἱὸς Λουαί· ὁ Λουαῖς υἱὸς Μουστρακᾶ· ὁ Μουστρακᾶς υἱὸς Κανᾶ· ὁ Κανὰν υἱὸς Ἐλμουδάβ· ὁ Ἐλμουδὰβ υἱὸς Ἀλισσαί· ὁ Ἀλησσαὶ υἱὸς Μουστουσάλαχ. Τέλ. Αὐτὸς δὲ ὁ Ὀσμάνης ὡς ψεύστης οὕτως ἔπλασε τὸν τάφον του ὡς ὅτι ἐτάφη· αὐτὸς δὲ κανένα ἀπὸ τὰ μέλη του δὲν ἀπόμεινε μόνον παρα μικρὸν ἀπὸ τὸ ποδάρη του καὶ αὐτὸ τὸ ἔρριψαν οἱ Ἄρραβες ἐκεῖ ὁποῦ ἔσφαξεν ὁ πατήρ του τὴν φοράδαν· καὶ ὡς ἔγραψαν καὶ εἶπαν ὅλα ψευδῆ καὶ ἄνομα, οὕτως καὶ τὸν τάφον αὐτοῦ εἶπον. Ταῦτα συνεγράψατο **Βαρθολομαῖος** ἱερομόναχος ὁ **Αἰδεσινὸς** εἰς τὸ ὄρος τὸ Σινᾶ ὁ ὁποῖος παρατυχὼν ἐκεῖ πλησίον καὶ διὰ νὰ ἠξεύρῃ τὴν γραφὴν τῶν Ἀῤῥάβων καὶ τὰ βιβλία τους ὅλα ἀνέγνωσεν εἰς ἄκρως καὶ ἐλέγχει τὰς φλυαρίας αὐτῶν καὶ τὰς πλανεμένας μωρίας καὶ μυθολογίας.

Ἐν τέλει· Ἐγράφη διὰ χειρὸς ἐμοῦ τοῦ ἐλαχίστου τῶν ἱερέων Γγίνου καὶ οἰκονόμου τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Πωγωϊάννης ἐν ἔτει ͵ζρμη', μηνὶ Ὀκτωβρίῳ λαη, ἀπὸ ἐνσάρκου οἰκονομίας 1640.

Ἐν ἀρχῇ τοῦ κώδικος Πίναξ τῶν περιεχομένων.

4516. 396. Χαρτ. 8. XV.

1. **Μιχαὴλ τοῦ Γλυκᾶ** Ἐπιστολαί.

α'. Ἀρχ. (ἀκέφ.)....οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν τῷ φαρμάκῳ κέχρηται πρινὴ [δη]λαδὴ τοὺς ἀπο μοχθηρᾶς διαίτης ἐπισυναχθέντας οὐκ ἀγαθοὺς χυμοὺς ἐκκαθάρωσιν. Τέλ. ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκοῦσαι οὐκ ἐφυλάξαντο· ταῦτα ἐκ πολλῶν ὀλίγα· πλείω καὶ γὰρ ὁ καιρὸς λέγειν οὐ συγχωρεῖ.—β'. "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Μαξίμῳ τῷ Ἀσμενιώτῃ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι πρὸς καιρὸν εἶχε τὸ σῶμα κατ' ἀρχὰς ὁ ἄνθρωπος καὶ ὅτι φυσικοῖς ὑπέκειτο καὶ πρὸ τῆς παραβάσεως πάθεσι καὶ βρῶσιν αἰσθητὴν ἐν παραδείσῳ ἴσθιε καὶ ὅτι συκὴ τὸ ξύλον τῆς γνώσεως ἦν, ὡς ἐκεῖνοι φασίν· κεφάλαιον β'." Ἀρχ. Ὅτι μὲν γὰρ ὁ πρῶτος ἐκεῖνος ἄνθρωπος θανάτου καὶ φθορᾶς ὑπέρτερος ἦν ἀπ' ἀρχῆς· θανάτῳ δὲ κατεκρίθη μετὰ τὸ τὴν ἁμαρτίαν ὑποπεσεῖν. Τέλ. Ἀρκεῖ τοσαῦτα· τοῖς γὰρ ἐχέφροσι κατὰ σὲ καὶ εἷς λόγος ἀρκεῖ πρός γε τὴν τοῦ κρείττονος εὕρεσιν.—γ'. "Τῷ αὐτῷ Καὶ περὶ τοῦ ποῖος ἦν ὁ Ἀδὰμ ἀπ' ἀρχῆς κατά γε δόξαν ὁμοῦ καὶ λαμπρότητα· κεφάλαιον γ'." Ἀρχ. Εἰ δὲ καὶ τοῦτο μαθεῖν ἐπιζητεῖς ὁσιώτατε ἄνερ ὁποίας ἐξέπεσε διὰ τὴν παράβασιν ὁ πρῶτος ἄνθρωπος δόξης τε καὶ λαμπρότητος. Τέλ. στολὴν γὰρ τὴν πρώτην εἰπὼν ἔδειξε προφανῶς μηδὲν ἄλλο τὴν ἀνάστασιν εἶναι ἢ πρὸς τὸ ἀρχαῖον τῶν πεπτωκότων ἀποκατάστασιν.—δ'. "Τῷ αὐτῷ Τίνος ἕνεκεν ὁ διάβολος διὰ τοῦ ὄφεως καὶ οὐ δι' ἑτέρου τῶν ζῴων προσέβαλε τῷ Ἀδὰμ καὶ τέως πόθεν δηλονότι προσέβαλε τῆς γραφῆς ὁπουδήποτε μὴ σαφῶς οὕτω λεγούσης καὶ εἰ ἀληθῶς τίνος ἕνεκεν ἡ γραφὴ τοῦτο ἔλεον ἐκρυψεν." Ἀρχ. Ἐπειδὴ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν εὐαγγελίοις ἠκούσατε λέγοντος.—ε'. "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἰωάννῃ τῷ Ἀσπιώτῃ Περὶ τοῦ ὁποῖα τῇ φύσει τὰ τῶν ἀνθρώπων σώματα ἐκ νεκρῶν ἐγερθήσονται καὶ εἰ βρῶσιν αἰσθητὴν ἐσθίειν ἐκεῖσε μέλλουσιν ὥς τινες ἐπιφέρουσιν." Ἀρχ. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς ὁ σάρκα φορέσας.—ϛ'. "Ὅτι καὶ τοῦτο ἀπόρηται εἰ ἄρσεν καὶ θῆλη τὰ τῶν ἀνθρώπων ἐγερθήσονται σώματα." Ἀρχ. Ἐφ' οἷς ἠπόρηκας ὁσιώτατε ἄνερ πῶς ἐκ νεκρῶν ἀναστήσονται.—ζ'. "Τῷ αὐτῷ εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι οὐ γνωρίσουσιν ἀλλήλους οἱ ἀναστόμενοι τότε ἄνθρωποι· εἰ δὲ γνωρίσουσι δικαίους μὲν ἁμαρτωλοὶ γνωρίσουσι οὐ μὴν δὲ καὶ ἁμαρτωλοὺς οἱ δίκαιοι." Ἀρχ. Εἰ δέ τις καὶ περὶ τοῦ γενησομένου τότε κοινοῦ ἀναγνωρισμοῦ μαθεῖν βούλεται.—η'. "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἡσαΐᾳ περὶ τοῦ εἴτε προκόπτειν οἱ δίκαιοι μέλλουσι κατά γε γνῶσιν καὶ δόξαν εἴτε καὶ μὴν μετὰ τὴν ἐκεῖσε ἀποκατάστασιν." Ἀρχ. Πρῶτον μὲν οὖν ἐπὶ τούτοις ἀναγκαῖον εἰπεῖν θεοείκελε ἄνερ.—θ'. "Τίνος ἕνεκεν ἐν ἐσχάτοις καιροῖς ἐσαρκώθη ὁ Κύριος καὶ διὰ τί μὴ πολλῷ πρότερον εἰς τὸν κόσμον ἐλήλυθεν· καὶ γὰρ εἰ προλαυὼν ἐποίησε τοῦτο, οὐκ ἂν ἐξ ἀγνοίας ὁ ἀπειρόκακος πληθὺς ἐκεῖνος λαὸς ἐν ἀσεβείᾳ κατέλυσε τὴν ζωήν." Ἀρχ. Καὶ τοῦτο τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἐπαποροῦντος οὕτω καὶ λέγοντος ἐὰν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων.—ι'. "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἡσαΐᾳ Εἰ κατ' εἰκόνα τοῦ Θεοῦ ὁ ἡμέτερος ἔκτισται νοῦς πῶς ἐν τῷ μὲν συνετὸς ὁ τοιοῦτος ἐστὶν ἐν τῷ δὲ ἀσύνετος καὶ τίνος ἕνεκεν εἴδει καὶ ἡλικίᾳ καὶ τοῖς λοιποῖς πρὸς ἀλλήλους διενηνοχασιν ἅπαντες." Ἀρχ. Ὅτι μὲν οὖν κατ' εἰκόνα Θεοῦ ὁ ἡμέτερος ἔκτισται νοῦς.—ια'. "Τῷ αὐτῷ Περὶ τοῦ πῶς δεῖ πρὸς Ἰουδαίους ἀπαντᾶν ἡνίκα καὶ μᾶλλον ἐκεῖ τὸ κατὰ Χριστὸν ἐπιχειροῦσι διαστρέφειν μυστήριον." Ἀρχ. Τοιοῦτόν τι πάσχειν ἔοικας, ὁσιώτατε ἄνερ, ὁποῖον ἡ μέλισσα....—λα'. "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Λεοντίῳ τῷ ἐγκλειστῷ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι μετανοίᾳ περὶ τὸ τέλος ὁ Σολομὼν ἐχρήσατο."

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** "Ἠθικά."

Ἀποσπάσματα ἐκ τῶν λόγων αὐτοῦ.

3. **Ἀναστασίου τοῦ Σιναΐτου** Λόγος εἰς τὴν παρείσβασιν τῶν νηστειῶν καὶ εἰς τὸν ϛ' Ψαλμόν.

4. **Ἐφραὶμ τοῦ Σύρου** Λόγος παραινετικός.

5. **Ἀναστασίου τοῦ Σιναΐτου** Λόγος ἕτερος.

6. **Ἀθανασίου Ἀλεξανδρείας** Περὶ κατανύξεως
Πρὸς τὸν μακάριον Ἀντίοχον.

7. **Ἰσαὰκ τοῦ ἀναχωρητοῦ** Κεφάλαια.

8. **Ἀντιόχου τοῦ παντέκτου**
"Περὶ ἀποφθεγμάτων πατέρων."

9. "Κεφάλαια παραινετικὰ δια γνωμολογίας."
Ἀρχ. Θεῖος φόβος καὶ θεραπεία τεκόντων καὶ τιμὴ πρεσβυτέρων. Τέλ. (κολ.) τὸν πολλὰ ὀμνύοντα ὡς τὸν ἐπιορκοῦντα φεύγε καὶ γὰρ πολλοῖς ὅρκοις πλεῖσται αἱ ἐπιορκίαι...τὰς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον...

10. "**Ἰοσίππου** Εἰς τοὺς Μακκαβαίους."
Ἀρχ. Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων.

4517. 397. Χαρτ. 8. XVII.

1. **Ἀλβέρτου Μαρίνου τοῦ Χίου.**
Λόγος εἰς τὴν σταύρωσιν τοῦ Χριστοῦ.

2. Βίοι καὶ μαρτύρια ἁγίων.

α'. Βίος καὶ πολιτεία ὁσίας Εὐπραξίας.—β'. Βίος καὶ πολιτεία Μακαρίου τοῦ Ῥωμαίου.—γ'. Μαρτύριον ἁγίου Παντελεήμονος.—δ'. Βίος καὶ πολιτεία ὁσίου Ξενοφῶντος.—ε'. Μαρτύριον ἁγίας Αἰκατερίνης.—ς'. Μαρτύριον ἁγίου Χαραλάμπους μεταγλωττισθὲν παρὰ **Δανιὴλ ἱερομονάχου.**—*ζ'. Βίος καὶ πολιτεία ἁγίου Φιλαρέτου τοῦ γενομένου πάππου Μαρίας τῆς βασιλίσσης.—η'. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Παϊσίου τοῦ μεγάλου συγγραφεὶς παρὰ τοῦ ὁσίου* **Ἰωάννου μοναχοῦ τοῦ Κολοβοῦ.**

Μεταξὺ τῶν ὑπ' ἀρ. δ' καὶ ε' εὕρηται Α' Περὶ ἐλπίδος κεφάλαιον ἐκ τοῦ Γεροντικοῦ.—Μεταξὺ τῶν ὑπ' ἀρ. ε' καὶ ς' Β' "Παραίνεσις πρὸς τοὺς θέλοντας σωθῆναι μοναχοὺς ὡς ἐν συνόπτῳ τοῦ ἐν ἐπισκόποις λογιωτάτου κυροῦ **Δαμασκηνοῦ Λιτῆς καὶ Ῥενδίνης** *καὶ προέδρου Πολιανῆς."—Μεταξὺ τῶν ὑπ' ἀρ. ζ' καὶ η' Γ'* **Ἀναστασίου τοῦ Σιναΐτου** *Λόγος περὶ τῆς ἁγίας Συνάξεως καὶ περὶ τοῦ μὴ κρίνειν καὶ περὶ τοῦ μὴ μνησικακεῖν.*

Ἅπαντα πλὴν τῶν ὑπ' ἀρ. 2α' καὶ Α' Β' Γ' ἐν τῇ καθωμιλημένῃ.

Ἐν ἀρχῇ τοῦ κώδικος Πίναξ τοῦ βιβλίου ἀτελής.

4518. 398. Χαρτ. 8. XVII.

1. Βίος καὶ πολιτεία Ἀντωνίου τοῦ μεγάλου.

2. **Ἀναστασίου τοῦ Σιναΐτου** Εἰς τοὺς κεκοιμημένους ἀδελφούς.

3. "**Δαμασκηνοῦ** ἀρχιερέως [**τοῦ Στουδίτου**]
Ἐξήγησις εἰς τὸν Δεκάλογον τοῦ Μωϋσέως."

4. "Μετάφρασις εἰς τὴν πεζὴν φράσιν
τῶν προσευχῶν τῆς χριστιανικῆς ἀκολουθίας."

5. "Περὶ τοῦ πῶς δεῖ τὸν ἱερέα εἶναι."

6. "Διήγησις καὶ ὀπτασία ὠφέλιμος
Δημητρίου *τινὸς* **ὀρθοδόξου** *συντεθῆσα εἰς φράσιν ἁπλὴν παρα του πνευματικοῦ κύρου* **Λαυρεντίου τοῦ Κηπρίου."**

7. "Ἀπανθίσματα ἐκ τῶν βίων τῶν ἁγίων πατέρων
καὶ ἐκ τῆς ἁγίας Γραφῆς καὶ τῶν ἁγίων διδασκάλων."

8. Περὶ ἀρχιερέων.

9. Βίος τοῦ ἁγίου Σπυρίδωνας.

10. "Περὶ τοῦ ἁγίου Κωνσταντίνου πρεσβυτέρου
ὁποῦ ἦτον ἀπὸ Ἰουδαίους πῶς ἐπολιτεύθη."

11. "Διήγησις περὶ τινος γέροντος σημειοφόρου
μοναχοῦ πῶς ἀάπεκαλύφθη αὐτῷ τὰ περὶ τοῦ βασιλέως Θεοδοσίου."

12. "Περὶ τῆς ἁγίας Μελάνης τῆς Ῥωμαίας."

13. "Περὶ τῆς νεωτέρας Μελάνης."

14. "Περὶ τῆς ἁγίας Ὀλυμπιάδος."

15. "Περὶ τῆς ἁγίας Εὐπραξίας."

16. "Περὶ τῆς ἁγίας μάρτυρος Χριστίνης."

17. "Περὶ τοῦ ἁγίου Εὐαγρίου."

18. "Περὶ μετανοίας καὶ ἐξομολογήσεως."

19. Διηγήσεις ἐκ τοῦ Πατερικοῦ.

20. **Ἱερωνύμου μοναχοῦ** Περὶ τῆς χριστιανικῆς πίστεως.

21. "Ἐκ τοῦ Λειμωναρίου τοῦ Πατερικοῦ."

22. "Ἐκ τῶν Διαλόγων τοῦ **ἁγίου Γρηγορίου."**

23. Ἀποσπάσματα **πατέρων.**

24. Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ (κολοβ.).
Ἅπαντα πλὴν τοῦ ὑπ' ἀρ. 7 ἐν τῇ καθωμιλημένῃ.

4519. 399. Χαρτ. 8. XVI.

1. "Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ."

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.

3. "Προοίμιον καὶ ἡ ἑρμηνία περὶ τοῦ πῶς δεῖ
ὑπάρχειν τὸν πνευματικὸν καὶ ἑρμηνεύειν ἀκωλύτως τοὺς εἰς αὐτὸν εἰsερχομένους."

4. Νομοκάνων.
Προτάσσεται "Πίναξ ἐνθάδε τοῦ παρόντος νομίμου."
Κεφ. ριϛ', ὧν α' "Ὁ χειροτονῶν παρ ενορίαν...", β' "Ὁ ἐπι χρήμασι χειροτονῶν κληρικὸς ἰγγύας διδούς...", ...ριε' "Περὶ τοῦ πότε καὶ ποῦ καταλύεται ἡ νηστεία τῆς Τετάρτης", ριϛ' "Πότε ὀφείλουσιν οἱ ὀρθῶς βιοῦντες μεταλαμβάνειν."

5. "Περὶ πῶς γράφωσιν οἱ ἀρχιερεῖς
τῷ κοινῷ δεσπότῃ τῷ οἰκουμενικῷ."
Ἕπονται ἄλλοι Τύποι ἐπιστολῶν πρὸς ἱεράρχας.

6. "Τάξις γενομένη εἰς τὸ φορέσαι τινα
ῥάσον μόνον καὶ καμιλαύχιον."

7. "Ἀκολουθία τοῦ ἐξωδιαστικοῦ τῶν μοναχῶν."

8. "Εὐαγγέλια ἑωθινὰ ἀναστάσιμα τὰ ἕνδεκα."

9. "Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν
Θεοτόκον, ποίημα **Θεοστηρίκτου μοναχοῦ."**

10. Ἀκολουθία τῆς μεταμορφώσεως τοῦ Σωτῆρος.

11. Κανὼν ἀναστάσιμος.

12. "Τάξις γινομένη εἰ συμβῇ τι μιαρὸν
οἱονδήποτε ἐμπεσεῖν εἰς φρέαρ ὕδατος."

13. **Ἰωάννου Χρυσοστόμου**
Λόγος παραινετικὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ.
Ἀρχ. Ἀγαπητοί μου ἀδελφοὶ καὶ παμπόθητοι οἱ συναθροισθέντες ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

14. "Ἀποστολοευάγγελα τῆς ὅλης εὐδομάδος."

15. "Εὐχὴ τοῦ **ἁγίου Τρύφωνος."**

16. Ἀπόστολος καὶ εὐαγγέλιον εἰς κοιμηθέντας.

17. "Ἀρχὴ τῶν ἀναστασίμων ἐξαποστειλαρίων
καὶ τῶν ἑωθινῶν ἰδιομέλων τῶν ια'. Εἰσὶ δὲ τὰ μὲν

ἑωθινὰ **Λέοντος** *τοῦ* **σοφωτάτου βασιλέως**, *τὰ δὲ ἐξαποστειλάρια τοῦ υἱοῦ αὐτοῦ* **Κωνσταντίνου βασιλέως.**"

18. "Εὐχὴ συγχωρητικὴ ἣν λέγει ὁ πνευματικὸς *εἰς τὸν μέλλοντα μεταλαβεῖν.*"

4520. 400. Χαρτ. 8. XV.

1. "Κατήχησις περὶ τῆς ἀσκητικῆς ἀκολουθίας."

Ἀρχ. Δεῖ τοὺς μὴ ειδότας ἐκ τήθους τὸ Ψαλτήριον ὅταν λέγωσι τὴν ασκητικὴν ἀκολουθίαν λέγειν ἀντὶ Ψαλμῶν τὴν εὐχὴν τοῦ τελώνου.

2. "**Θεοδούλου μοναχοῦ** Διήγησις *περὶ τῶν ὕμνων πῶς θεόθεν δεδώρηνται.*"

3. "Τοῦ ἁγίου **Γρηγορίου τοῦ Θεολόγου.**"

Ἀρχ. Ἀρχὴ σοφίας φόβος Κυρίου οἷόν τι πρῶτον σπάργανον.

4. "**Τοῦ αὐτοῦ** Περὶ εὐχαριστίας."

Ἀπόσπασμα, ᾧ ἕπονται ἄλλα ἀποσπάσματα, μάλιστα περὶ εὐχαριστίας, **Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰσαὰκ τοῦ Σύρου, Ἀντιόχου τοῦ Παντέκτου, τοῦ ἁγίου Θαλασσίου, τοῦ ἁγίου Μαξίμου.**

5. Περὶ τοῦ Θηκαρᾶ στίχοι καὶ γνῶμαι **Θεοδούλου μοναχοῦ, Νεοχωρίτου γραμματικοῦ, Μητροφάνους μοναχοῦ, τοῦ Χιόνη, τοῦ Σταφιδάκη, τοῦ Χαρσιανίτου.**

6. "Στίχοι εἰς τοὺς ὕμνους. **Διονυσίου μοναχοῦ** *Πεντηκοστὰς ἰάμβων.*"

7. Ἀποσπάσματα **πατέρων.**

Διαστέλλονται ἀλλήλων δι' ἀστερίσκου προτασσομένου ἑκάστου ὀνόματος συγγραφέως.

8. "Σύνταξις ὕμνων πυρπνόων θεοσδότων
ἐρωτοφυῶν φωσφόρων τοῖς εὐθέσι
τῇ τρισσοφαεῖ καὶ μιᾷ θεαρχίᾳ
οἰκτροῦ τάλανος **Θηκαρᾶ μονοτρόπου.**"

Ἐν τέλει· Τῇ τρίτῃ τοῦ παρόντος Δεκευρίου τῆς τρίτης ἰνδικτιῶνος τοῦ ἔτους ,ϛϡμη' (=1439) ἐπληρώθη τὸ βιβλίον τοῦ Θηκαρᾶ λεγόμενον καὶ μετέγραψα τὰ πάντα ὅσα εἶχε τὸ πρωτότυπον ἤγουν ὕμνους αἴνους δοξολογίας εὐχαριστίας καὶ πᾶσαν ἀκολουθίαν ἀσκητικὴν ἣν εἶχε...

9. "Εὐχὴ τοῦ ἁγίου **Νίφωνος** εἰς ψηχωραγοῦσαν."

10. Εὐχαὶ καὶ Κανόνες.

11. "Περὶ ἀρχῆς βίου λίαν ἐπωφελούς."

12. Πασχάλιον.

*4521. 401. Χαρτ. 8. XVII.

1. **Φιλοθέου πατριάρχου Κωνσταντινουπόλεως** Διάταξις τῆς θείας λειτουργίας.

2. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.

3. **Βασιλείου τοῦ μεγάλου** Λειτουργία.

4. Ἡ λειτουργία τῶν προηγιασμένων.

5. Εὐχὴ τῶν κολλύβων.

6. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Ἐν τέλει· αχξγ'—1663.

Κοσμεῖται ὑπὸ ἀναξίων λόγου εἰκόνων Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ μεγάλου καὶ Γρηγορίου τοῦ Διαλόγου καὶ ἀτέχνων ἀρχικῶν γραμμάτων.

4522. 402. Χαρτ. 8. XVII.

1. "Στίχει τοῦ ἀειδίμου μακαριωτάτου **πατριάρχου Ἱεροσολύμων** *κυρίου* **Νεκταρίου·** *μόνοι ἡ τρῖς:*
Πάπας τίς ἐγκυμονήσας, τίκτειν ἔμελλεν ὡς θῆλυ,
τ' οὔνομα δ' ὢν Ἰωάννης Ἰωάννα μετεκλήθη·
καὶ γυνὴ σαφῶς γνωσθεῖσα, τὸ παπίδιον θειλάζει.

2. "Ἐρώτησις τοῦ λογιωτάτου *καὶ ἀπόκρισις τοῦ σοφωτάτου* **μέγα λογοθέτου τῆς μεγάλης ἐκκλησίας κὺρ Ἰωάννου.** *Ὑπὲρ τὰ πρωτία τοῦ πάπα ὁποῦ λέγει ὁ Ρωμανός.*"

Μετὰ τὴν λέξιν λογιωτάτου χῶρος δι' ὄνομα μὴ γραφέν.

Ἀρχ. Δὲν εἶναι ἄλλον διὰ τὸ ὁποῖον λέγουσι οἱ Ῥωμάνοι πῶς ὁ πάπας νὰ εἶναι κεφαλὴ τῆς ἐκκλησίας καὶ ἀρχὴ καὶ ἐξουσιαστῆς ὁλονῶν τῶν ἀρχιερέων, καὶ διὰ τοῦτο νὰ ἔχῃ τὴν ἐξουσίαν ἰσόθεον, παρὰ μόνον διατὶ εἶναι διάδοχος τοῦ Πέτρου.

3. Λόγος ἀνεπίγραφος.

Ἀρχ. Ἐφύτευσεν ὁ Θεὸς παραδειον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν. Νοήσωμεν ἀξίαν Θεοῦ φυτείαν καὶ παράδεισον πρέποντα τῇ φιλοκαλίᾳ.

4. "Εἰσὶν μὲν γλῶσσαι τῶν ἀνθρώπων οβ' *καὶ γένει ὁμοίως, ἅτινα μετέρχονται γράμματα, τὸ καθὲν τῆς ἰδίας αὐτῶν διαλέκτου· Ἑλληνικὰ, Λατινικὰ, Ἀράβηκα, Σέρβικα, Ἰβέῤῥικα, Ἀρμένικα καὶ Ἑβρέοικα.*"

5. Λόγος εἰς τὸ "Πάτερ δόξασόν σου τὸν υἱόν, *ἵνα καὶ ὁ υἱός σου δοξάσι σε.*"

Μέρη β', ὧν προτάσσεται Προοίμιον, ἀρχόμενον· Τί θαυμαστὸν πράγμα εἶναι, ὦ ἐνδοξότατοι καὶ τιμιώτατοι ἀκροατέ.

6. "Περι ὑπομονῆς καὶ ὑπακοῆς λόγος α'."

7. Λόγος εἰς τὸ "Νῦν κρίσις τοῦ κόσμου τοῦτο ἐστίν."

Μέρη β' μετὰ Προοιμίου.

8. **Γρηγορίου τοῦ Θαυματουργοῦ** Εἰς τὰ ἅγια Θεοφάνεια.

9. "Λόγος εἰς τὴν Ἀνάληψιν."

10. **Ἀθανασίου Ἀλεξανδρείας** Λύσεις τινὲς ἀποριῶν.

Ἀρχ. Τί ἐστὶ τό Ποιήσομεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν.

11. **Τοῦ αὐτοῦ** "Ἑτέραι τινὲς ἐρωτήσεις." πα'.

12. Σημειώσεις περὶ διαιρέσεως τοῦ χρόνου.

13. "Περι τῶν βασιλέων τῆς Κωνσταντινουπόλεως, *πόσους χρόνους ἐβασίλευσεν ὁ καθε εἷς· καὶ περι τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων, εἰς τί βασιλέων ἔγειναν καὶ εἰς ποῖαν πόλιν καὶ κατὰ τίνων ἐρετικῶν ἐσυνάγουνταν.*"

14. [**Ἰωαννικίου Κουαρτάνου**;] "Μέρος ἐκ τῆς βίβλου, ὅπερ ὀνομάζεται Ἄνθος τῶν χαρίτων."

Κεφ. κδ', ὧν α'. "Περὶ τῆς ἀγάπης," β'. "Ἐλάττωμα τῆς ζηλίας."

15. "Ὅσα περὶ Χριστοῦ οἱ προφῆται ἐλάλησαν *καὶ ἀληθῶς πάντα ἐτελειώθησαν.*"

Ἀρχ. Ἱερεμίας, οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν.

Ἐν τέλει· Ἐτελειώθη αὕτη ἡ βίβλος δια χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Ἀγαπίου ἱερομονάχου, τοῦ ἐκ τῆς μονῆς τῶν Ἰβήρων . . 1684, Σεπτεμβρίῳ κβ'.

Τὰ ὑπ' ἀρ. 2, 5—7, 13 καὶ 14 *ἐν τῇ καθωμιλημένῃ.*

4523. 403. Χαρτ. 8. XVIII.

1. "Περι τεῖς σατανικῆς αἱρέσεως
τῶν κακωδόξων 'Αρμενίων αἱ τῶν ἴναγέν νηστειῶν αὐτῶν· καὶ περι τῶν αἱρέσαιων, ὧν ἔλαβον ἐκ τοῦ βασιλέως Περσῶν Χόσρόη, *τοῦ λεγομένου* Βαμπάου· *καὶ τῶν εὐδομάδων τῶν φύλασωμένων του ὅλου ἐνιαυτοῦ.*"

"Αρχ. Μετὰ το διαχὡρισθῆναι, τὸ γένος τῶν κακοδόξων 'Αρμενίων ἐκ τῶν Ρωμαίων.

2. "Περὶ τῶν Φραγγῶν καὶ Λατίνων
καὶ πῶς ἀπεσχίσθη ἡ 'Ρώμη τῶν τεσσάρων πατριαρχῶν Κωνσταντινουπόλεως *καὶ τῶν λοιπῶν.*"

"Αρχ. Οἱ ἐν τῇ ἑβδόμῃ συνόδῳ, 'Αδριανὸς πάπας 'Ρώμης, καὶ μετ' ἐκεῖνον, Λέον, Στέφανος, Πασχάλιος.

3. "Σύνοψις μαρτυριῶν τῆς ἁγίας Γραφῆς
καὶ τῶν θείων καὶ ἱερῶν κανόνων κατὰ τῶν Λατινικῶν αἱρέσεων ἐκ τῆς ἀποσταλείσης ἐκθέσεως τῆς Λατινικῆς πίστεως παρὰ τοῦ **πάπα Γρηγορίου** *πρὸς τὸν ἁγιώτατον πατριάρχην* Κωνσταντινουπόλεως Γερμανόν."

4. "**Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου**
Κωνσταντινουπόλεως *οὗτος ἐστὶν ὁ μετονομασθεὶς* Ταράσιος *σοφὸς ἀνὴρ καὶ ἡγιασμένος* Περὶ τῆς τῶν Φραγγῶν αἱρέσεως *ἐκ τῆς* 'Εγκυκλίου."

5. "'Ερώτησις καὶ ἀπόκρισις θείων **πατέρων**
περὶ πίστεως καὶ κατὰ Λατίνων."

6. "'Ιωάννου τοῦ παναγιωτάτου μητροπολίτου
Κλαυδιουπόλεως Λόγος *περὶ τῶν ἀζύμων στυλιτευτικὸς κατὰ* Αρμενίων *καὶ* Φραγγῶν *καὶ* Λατίνων."

"Αρχ. 'Επειδὴ ἔχεις πόθον.

7. "**Θεοκλήτου εκκλησιάρχου** καὶ δομεστίχου
τῆς ἱερᾶς καὶ βασιλικῆς μεγάλης μονῆς τῶν 'Ιβήρων...Λόγος *ἀποδεικτικὸς περι τῆς ἁγίας προσκομηδῆς τοῦ ἁγίου ἄρτου...* Πρὸς τὸν *αἰδισιμώτατον παπὰ κῦρ* 'Ιωάσαφ."

"Αρχ. Θαυμάζω καὶ ἐπαινῶ σε.

8. "'Ιωάννης **πρὲσβύτερος, ὁ Ναθαναῆλ**
Τοις εντευξομενοις χαῖρειν."

"Αρχ. Διασκεψάμενος ἀκριβῶς.

9. "**Συμεῶν Θεσσαλονίκης τοῦ νέου Θεολόγου·**
τοῦ μὲν βιβλίου αυτοῦ κεφάλαια μδ΄. τοῦ δὲ ἱερέου ὁποῦ το επεξευσεν κεφάλαια λ΄."

"Αρχ. 'Ακόλουθον ἤθελεν ἦστε καὶ ἁρμόδιον.

10. "**Του αυτοῦ Σιμεὼν Θεσσαλονήκης**
τοῦ νέου Θεολόγου· *ἐκ μὲν τοῦ βιβλίου αὐτοῦ κεφάλαια ξα΄. ἀπὸ δὲ τοῦ ιερέου οποῦ το επέξευσεν κεφαλαια οδ΄.*"

11. "**Τοῦ αυτοῦ Συμεῶν Θεσσαλονίκης**
Εκ *μὲν τοῦ βιβλίου αὐτοῦ κεφάλ. ξβ΄. τοῦ δὲ ιερέου κεφάλ. οε΄.*"

12. "**Γερμανοῦ Κωνσταντίνου πολεως** Ερμηνία·
καὶ θεωρία μυστηκὴ περὶ τὴν ἁγίαν πρόθεσιν· ἀπὸ μὲν τοῦ βιβλίου αὐτου κεφάλ. ν΄. ἀπὸ δὲ τοῦ ιερέου οποῦ τῶ ἐπέξευσεν κεφάλ. νβ΄."

13. "'Ομοίως καὶ τοῦ Χρυσοστόμου πατρός."

"Αρχ. Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταῦτης ἐντολῆς.

Τὰ *ὑπ' ἀρ.* 10—13 Περὶ *προςκομιδῆς*.

14. **Διονυσίου πατριάρχου** 'Επιστολή (ἀτελής).
"**Διονύσιος** *ἐλέῳ Θεοῦ* **ἐπίσκοπος Κωνσταντίνου πόλεως,** *νέας* Ρώμης *καὶ οἰκουμενικὸς πατριάρχης.*"

"Αρχ. Θεοφιλέστατε ἐπίσκοπε Ερισοῦ καὶ ἁγίου "Ορους.

15. **Μάμαντος Εὐχαί.**

16. Προγνωστικὸν τῶν αἰσίων καὶ ἀποφράδων ἡμερῶν.

Τὰ *ὑπ' ἀρ.* 7—12 *ἐν τῇ καθωμιλημένῃ.*

4524. 404. Χαρτ. 8. XVIII.

"**Θωμᾶ ['Ακυινάτου] τοῦ φιλοσοφου**
'Εκ τοῦ πρώτου βιβλίου τῶν εἰς τέσσαρα κατὰ ἐθνικῶν."

Κεφ. ξδ΄ *μετὰ* Πίνακος *ἐν ἀρχῇ.* "Ιδ. *καὶ* 4525 (405), 4526 (406).

4525. 405. Χαρτ. 8. XVIII.

"**Θωμᾶ ['Ακυινάτου] τοῦ φιλοσόφου**
Βιβλίον $β^{ον}$, $γ^{ον}$."

Κεφ. ρλθ΄ *ἀμφοτέρων τῶν βιβλίων μετὰ* Πίνακος *ἐν ἀρχῇ.*
"Ιδ. *καὶ* 4524 (404), 4526 (406).

4526. 406. Χαρτ. 8. XVIII.

"**Τοῦ Θωμᾶ ['Ακυινάτου] τοῦ φιλοσόφου**
Κατὰ *ἐθνικῶν εἰς τέσσαρα τὸ τέταρτον.*"

Κεφ. ξε΄ *μετὰ* Πίνακος *ἐν ἀρχῇ.*

'Εν τέλει· Λείπει κατὰ τὸ τέλος τοῦ βιβλίου ὅσα εἰς τελείωσιν τοῦ ζήματος του παρόντος κεφαλαίου. Καὶ κατωτέρω· 'Εγράφη χειρὶ τοῦ ταπεινοῦ Νικηφόρου τοῦ Πριγγιλέου...

"Ιδ. *καὶ* 4524 (404), 4525 (405). *'Εγράφησαν δὲ καὶ οἱ τρεῖς κώδικες ὑπὸ τῆς αὐτῆς χειρός.*

4527. 407. Χαρτ. 8. XVII.

"Ψαλτήριον μετενεχθὲν εἰς κοινὴν διάλεκτον
παρὰ τοῦ κυρίου κυρίου **'Αθανασίου** *ἀρχιεπισκόπου* **Κωνσταντίνου πόλεος Πατελάρου τοῦ Κρητῶς** *ἐξεθέντα παρὰ τοῦ πανεντιμοτάτου ἄρχοντος κυρίου* Κοσταντίνου *τοῦ* Βαίβε *καὶ μεγάλου κλοτζαρίου τῆς* Οὐγκαρίας.

'Εν τέλει· αχν΄ 'Ιουνίω κ΄...(=1650).

4528. 408. Περγ. 8. XIV.

1. Διηγήσεις περὶ ἁγίων πατέρων.
α΄ (ἀκέφ). "Αρχ....ἔλεγον περὶ τινος μοναχοῦ ὅτι ἐκάθητο ἐν τῇ ἐρήμῳ καὶ ἦν χλευαζόμενος ὑπὸ δαιμόνων.—β΄. "**Πέτρου** (γρ. **Παύλου**) *ἐπισκόπου* **Μονοβασίας** Διήγησις *περὶ ἐναρέτων θεοσεβῶν ἀνδρῶν τε καὶ γυναικῶν καὶ περὶ τῶν τριῶν γυναικῶν τῶν φονευθέντων ἐπὶ* Κωνσταντίνου *τοῦ βασιλέως.*"—γ΄. "Αλλαι διηγήσεις.—δ΄. Βίος *καὶ* πολιτεία Εὐγενίου *καὶ τῆς θυγατρὸς αὐτοῦ* Μαρίας.—ε΄. "Περὶ τοῦ ὁσίου *πατρὸς ἡμῶν* Δανιὴλ *τοῦ* Σκητιώτου."—ς΄. "Τοῦ αὐτοῦ ὁσίου **Δανιὴλ τοῦ Σκητιώτου** Περὶ *τῆς πατρικίας* 'Αναστασίας *τῆς μετονομασθείσης* 'Αναστασίου."—ζ΄. "Περὶ τοῦ ταξεώτου."—η΄. Διηγήσεις *ἐκ τοῦ* Γεροντικοῦ.

2. Βίος ὁσίου Μάρκου τοῦ 'Αθηναίου
τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θράκης.

3. "'Απόδειξις ὅτι μέγα καὶ ἀγγελικὸν
τὸ ἀρχιερατικὸν ἀξίωμα καὶ ὅτι ἀδύνατον ἀνακρίνασθαι ἱερέα ὑπὸ λαϊκοῦ· ἀλλ' ὑπὸ μείζονος ἀρχιερέως."

4. 'Αποφθέγματα ἁγίων ἀνδρῶν.

5. Περὶ ἀκτημοσύνης, ἐν ᾧ καὶ περὶ φιλαργυρίας.

6. Διάφοροι διηγήσεις περὶ ἁγίων πατέρων.

7. "Ἑρμηνεία ῥητῶν τινῶν τοῦ **ἁγίου Γρηγορίου** *ψαλλομένων εἰς ἁγίους μάρτυρας.*"

8. Λόγος "περὶ διακρίσεως."

9. **Ἐφραὶμ τοῦ Σύρου** Εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν.

10. **Ἀθανασίου Ἀλεξανδρείας** Πρὸς τοὺς ἀποταξαμένους.

11. "**Στεφάνου Θηβαίου** Ἐντολαὶ τοῖς ἀποτασσομένοις."

12. "**Τοῦ αὐτοῦ** Διάταξις πᾶσι μοναχοῖς."

13. Βίος καὶ πολιτεία τοῦ ὁσίου Μακαρίου.

14. Βίος καὶ πολιτεία τοῦ μακαρίου Ζωσίμου.

15. "Λόγοι ὠφέλημοι ἀπὸ τῶν ἔξω σοφῶν *τῶν λεγομένων* **Βραχμάνων τῶν καὶ Γυμνοσοφιστῶν.**"

16. Περὶ τοῦ θαύματος τοῦ γεγονότος *διὰ τῆς εἰκόνος τοῦ μεγαλομάρτυρος Γεωργίου.*

17. "Περὶ τῆς γυναικὸς τῆς νεκρωθείσης *καὶ πάλιν πρὸς ζωὴν ἐπανελθούσης.*"

18. Περὶ τῆς εἰκόνος τοῦ Χριστοῦ *"ἣν ὁ πατριάρχης Ῥωμανὸς τῇ θαλάσσῃ ἔβαλεν."*

19. "Περὶ τοῦ ἐν τῷ ἁγίῳ φρέατι γενομένου *μεγίστου θαύματος παρὰ τῆς ἁγίας καὶ σεβασμίας εἰκόνος τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν.*"

20. "Περὶ τῆς ἁγίας καὶ σεβασμίας εἰκόνος *τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ περὶ τοῦ πατρικίου καὶ τοῦ φιλοχρίστου νοταρίου.*"

21. **Βασιλείου τοῦ μεγάλου** *"Διδασκαλία καὶ κατήχησις πρὸς τοὺς ἀποτασσομένους."*

22. **Ἐφραὶμ τοῦ Σύρου** Προτρεπτικὴ μελέτη.

4529. 409. Χαρτ. 4. XVII.

Ἐφραὶμ τοῦ Σύρου Λόγοι ἀσκητικοὶ καὶ νουθεσίαι.

Ἐν τῇ καθωμιλημένῃ.

4530. 410. Περγ. 4. XIII. σελ. 2.

1. **Ἐφραὶμ τοῦ Σύρου** Λόγοι καὶ νουθεσίαι.

Ἀκέφαλοι καὶ κολοβοί.

2. **Σωφρονίου Ἱεροσολύμων** Βίος καὶ πολιτεία ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

4531. 411. Χαρτ. 4. XVIII. (φ. 252).

1 (φ. 1 α). **Ἐφραὶμ τοῦ Σύρου** Παραινέσεις εἰς μοναχούς.

Προτάσσεται **Τοῦ αὐτοῦ** *Ἐπιστολὴ εἰς Ἰωάννην μονάζοντα.*

Ἐν φ. 137α· Τέλος τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν καὶ γράψιμον Ἰωσὴφ μοναχοῦ ἐκ πόλεως Σινόπης μὴν Αὐγούστου κε' ἡμέρα Τρίτη εἰς 1702—,ζσι'.

2 (φ. 138 β). "Κανὼν εἰς τὴν ὑπεραγίαν *Θεοτόκον τὴν Πορταΐτησσαν καὶ θαυματουργὸν τὴν ἐν τῇ ἱερᾷ καὶ βασιλικῇ μονῇ τῶν Ἰβήρων τῇ κειμένῃ ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω πονηθεὶς παρ' ἐμοῦ* **Νεοφύτου ἱερομονάχου Ἰβηρίτου,** *ἔστι δὲ ὡς ἐν τάξει διηγήσεως.*"

3 (φ. 144 α). "Ἱστορία ψυχοφελὴς *ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης ἀπελθόντων τιμίων ἀνδρῶν πρὸς τὴν ἁγίαν πόλιν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα καὶ ἀπαγγειλώντων συγγραφῆσα παρὰ* **Ἰωάννου τοῦ Δαμασκηνοῦ.**"

4 (φ. 251 β). "**Ἰωσὴφ τοῦ Βρυένου.**"

Ἀρχ. Ὡς οὖν ἕκαστος ἡμῶν προαιρεῖται, οὕτως ἑαυτὸν διαθροῖ. Τέλ. οὐ χωρισθήσομαί σου, φίλη πατρίς, ἰδοὺ γὰρ γνωρίζω καὶ ἀληθείᾳ αἰσθάνομαι ὅτι ζῶ ζωὴν παρερχομένην καὶ ῥέουσαν.

5. "**Συμεὼν τοῦ νέου Θεολόγου.**"

Ἀρχ. Λέγει ὁ Δαβὶδ τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον. Τέλ. ἀναγκαῖον πόνῳ τοῦτο αὖθις κτήσασθαι λαβόντας αὖθις τὴν χάριν.

4532. 412. Περγ. 4. XII. σελ. 2.

Ἐφραὶμ τοῦ Σύρου Λόγοι καὶ παραινέσεις.

Προτάσσεται Πίναξ τῶν περιεχομένων.

4533. 413. Χαρτ. 4. XIV.

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ (ἀκέφ.).

Μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

2. "Ὁμολογία τῆς ὀρθοδόξου ἡμῶν πίστεως."

3. "Τὰ τῆς θείας φύσεως ἰδιώματα."

4. "**Τοῦ ἁγίου Κυρίλλου** Περὶ πίστεως."

5. "Ἔκθεσις περὶ πίστεως ἐν συντόμῳ."

Κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

6. **Βασιλείου τοῦ μεγάλου**

α' "Ἐκ τοῦ κζ' κεφαλαίου τῶν περὶ τοῦ ἁγίου Πνεύματος πρὸς τὸν μακάριον Ἀμφιλόχιον γεγραμμένων."—β'. "Ἐκ τοῦ κθ' κεφαλαίου τῆς αὐτῆς πραγματείας."—γ'. "Κατὰ Σαβελλιανῶν καὶ Ἀρειανῶν καὶ τῶν Ἀνομοίων."—δ'. "Πρὸς τοὺς συκοφαντοῦντας ἡμᾶς ὅτι τρεῖς θεοὺς λέγομεν." (κολοβ.)

4534. 414. Περγ. 4. XII.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

4535. 415. Περγ. 4. X. (φ. 204).

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ.

Ἀκέφαλος. Πρὸ τοῦ ἐν τέλει Πρὸς τὸν ποιμένα λόγου· Ἐτελειώθη ἡ ἱερὰ καὶ θεῖα δέλτος αὕτη μηνὶ Ἰαννουαρίῳ λα' δῆα χειρῶν Πέτρου μοναχοῦ ταπεινοῦ καὶ ἀναξίου πρεσβυτέρου εἰς ἔτος ἀπο κτίσεως κόσμου ,ϛυϞγ' ἰνδ. ιγ', ἡμέρᾳ ζ', ὥρᾳ ϛ' (=985).

4536. 416. Χαρτ. 4. XIV.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου. Ἑκάστῳ λόγῳ ἕπονται Σχόλια **πατέρων.** *Προτάσσονται δὲ τῆς Κλίμακος α'. "Βίος τοῦ συγγραψαμένου."—β'. Ἐπιστολὴ* **ἀββᾶ Ἰωάννου καθηγουμένου τῆς Ῥαϊθοῦ.**—*γ'. Ἀμοιβαία ἐπιστολὴ* **Ἰωάννου Σιναΐτου (τοῦ Σχολαστικοῦ)** *Πρὸς Ἰωάννην καθηγούμενον τῆς Ῥαϊθοῦ.—δ'. Σχόλια εἰς τὸν βίον τοῦ συγγραψαμένου τὴν Κλίμακα.—ε'. "Προθεωρία τῆς ἁγίας οὐρανοδρόμου Κλίμακος."*

Τινὰ ἐν τῷ μέσῳ φύλλα Περγ. XIV.

4537. 417. Χαρτ. 4. XVI.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου. Προτάσσεται α'. Πίναξ τῆς Κλίμακος.—β'. "Βίος ἐν ἐπιτομῇ τοῦ μακαρίου Ἰωάννου καθηγουμένου τοῦ ἁγίου ὄρους Σινᾶ, τοῦ ἁγίου λεγομένου Σχολαστικοῦ τοῦ καὶ συγγραψαμένου τὰς πνευματικὰς ταύτας πλάκας ἤγουν τὴν ἁγίαν Κλίμακα." Ἀρχ. Τὸ μέν τις ἡ ἐνεγκαμένη τὸν γεννάδα καὶ ἐκθρέψασα. Τέλ. ὁ νέος οὗτος θεόπτης τοῦ Σιναίου τῷ λογισμῷ συγκαταβὰς ὑπέδειξεν ἡμῖν καὶ αὐτὸς τὰς θεογράφους αὐτοῦ πλάκας, ἔξωθεν μὲν πρακτικά, ἔσωθεν δὲ θεωρητικά, περιεχούσας χαράγματα λέγοντα τάδε.

4538. 418. Χαρτ. 4. XIV. σελ. 2. (φ. 142).

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ.**

Καὶ προηγοῦνται μὲν α' (φ. 1 α). "Στίχοι εἰς τὸ παρὸν βιβλίον τῆς Κλίμακος, κῆπον νοητὸν δεικνύοντες αὐτό."

Ἀρχ.

Ἔχουσιν οἱ λειμῶνες ἄνθη ποικίλα
καὶ παντοδαπὰ πολλὰ καὶ διάφορα,
τούτων τὰ μὲν τέρπουσι τὴν θεωρίαν
εὐωδιάζειν τὰ δὲ τὴν ῥῖνα μόνην,
ἄλλα δὲ τὸν φάρυγγα καὶ τὴν κοιλίαν
τρέφουσι γλυκαίνουσιν οὐκ ἀθεσφάτως.

Τέλ.

Ταύτην ὁ μέλλων λήψεται σύμπας χρόνος
ἀεὶ βοῶσαν τὴν φιλάνθρωπον χάριν
τῶν σῶν πρὸς ἡμᾶς εὐμενῶν ἐνδειγμάτων.

Οἱ πλεῖστοι τῶν στίχων εἰσὶ γεγραμμένοι καταλογάδην.—β' (φ. 2 α). "Στίχοι εἰς τὴν ἀρχὴν τῆς Κλίμακος ἐν σχήματι ἐγκωμίου παραίνεσιν παρεισάγοντες καὶ κλίμακα παριστῶντες ἑτέραν ἧς μία ἑκάστη ἀνάβασις δι' ἓξ στίχων συνίσταται."

Ἀρχ.

Ψήγματα χρυσᾶ τοῖς Λυδοῖς αἱρεῖ λόγος
Πακτωλὸν ἐκρεῖν ὄντα τοῦ Τμώλου κάτω
ὑφ' ὧν Κροῖσος ὤγκωτο πεπλανημένος.

Τέλ.

Καὶ πυρσολαμπροφορημάτων τρόπου
καὶ χρυσολιθομαργαροστεφοπλόκου
νοΐ, λόγῳ, πνεύματι κατεστεμμένου
ἀμήν, ἀμὴν γένοιτο καὶ πάλιν.

Στίχοι τοῦ Κλίμακος σκβ'.—γ' (φ. 4 α). "Προθεωρία τῆς ἁγίας Κλίμακος."—δ' (φ. 5 α). Βίος τοῦ συγγραψαμένου τὴν Κλίμακα. Ἕπονται δὲ α' (φ. 114 β) Πίναξ τῆς Κλίμακος.—β' (φ. 115 α) Ὁ πρὸς Ποιμένα λόγος.

2 (φ. 126 α). **Ἰωάννου τοῦ Χρυσοστόμου**

"Λόγος ιδ' ἀπὸ τὴν πρὸς Ἐφεσίους ἐπιστολήν."

3 (φ. 131 α). Σχόλια τῆς Κλίμακος.

4539. 419. Χαρτ. 4. XV. σελ. 2.

Παρακλητικὴ καὶ Τριῴδιον (ἀκέφ. κολ.).

4540. 420. Χαρτ. 4. XV. σελ. 2.

Παρακλητικὴ πλήρης.

4541. 421. Περγ. 4. XIII.

1. **Ἰσαὰκ τοῦ Σύρου Λόγοι ἀσκητικοὶ μα'.**

Ἀρχ. ἀπὸ τοῦ β' (ἀκεφ)·...*τοῦτο ἀλλὰ καὶ ἐὰν ἔχῃ τινὰ ἐλαττώματα, τιμώμενος ὑπὸ σοῦ εὐχερῶς δέχεται παρὰ σοῦ τὴν θεραπείαν.*

2. **Ἀββᾶ Μαξίμου**

α'. Ἑκατοντάδες δ'.—β'. Λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν.—γ'. Κεφάλαια σιε.—δ'. "**Πύρρου καὶ Μαξίμου** Διάλεξις, ἀλλήλοις προσοψισθέντων." Τέλ. (κολ.)· *διὰ τῆς ἀναλυτικῆς συνιστῶντες ἐδείχθησαν ἑφεπομένως μέν, εἰ μὲν θεῖον αὐτὸ λέξωσιν, Θεὸν καὶ μόνον...*

4542. 422. Χαρτ. 4. XVII.

1. Παρακλητική.

Ἐν τέλει· *Ἐγράφη εἰς τοὺς ,ζσδ' μηνὶ Ἀπριλλίῳ η'* (=1696), *κτῆμα τῆς βασιλικῆς μονῆς τῶν Ἰβήρων, διὰ χειρὸς Ἀγαπίου ἱερομονάχου Βεριαίου, συνδρομῆς καὶ δαπάνης Παϊσίου προηγουμένου καὶ σκευοφυλάκου τῆς αὐτῆς μονῆς...*

2. "Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος."

4543. 423. Χαρτ. 4. XVI.

Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοί.

Φεβρουαρίου ζ'—Ἀπριλίου λ' κατ' ἐκλογήν.

Ἐν τέλει· *Θεοῦ τὸ δῶρον καὶ Δανιήλου πόνος. Ἐγράφει ἐπὶ ἔτους ,ζϟδ* (=1586).

4544. 424. Χαρτ. 4. XVI.

Βίοι καὶ μαρτύρια ἁγίων κατ' ἐκλογήν.

Μαΐου ε'—Αὐγούστου κβ'.

Προτάσσεται Πίναξ τῶν περιεχομένων ἀκριβής.

4545. 425. Χαρτ. 4. XVI. σελ 2.

Βίοι καὶ μαρτύρια ἁγίων Ὀκτωβρίου.

Κατ' ἐκλογήν. Προτάσσεται "Πίναξ ἀκριβὴς τῆς γραφῆς τοῦ βιβλίου."

4546. 426. Χαρτ. 4. XVII.

Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοί.

Ὀκτωβρίου—καὶ Ἰανουαρίου κατ' ἐκλογήν. Προτάσσεται Πίναξ τῶν περιεχομένων ἀκριβής.

4547. 427. Χαρτ. 4. XVI. σελ. 2.

Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοί.

Σεπτεμβρίου. Ἐν τέλει· *Θεοῦ τὸ δῶρον καὶ Θεοκλήτου πόνος ἔτους ,ζξη' μηνὶ Ἰουλλίῳ κζ'* (=1560).

*4548. 428. Περγ. 4. XI. (φ. 191).

1. Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοί.

α' (φ. 1 α). Ἀρχ. (ἀκέφ)·...*τῆς γαστρὸς αὐτῷ διαρρυείσης καὶ τοῦ στόματος μηδὲ μικρὸν ἐπισχεῖν δυναμένου τὸν ἔμετον ἀναιροῦνται αὐτὸν καὶ οἴκαδε πάλιν ἀνακομίζουσιν· ὁ δὲ τὴν νύκτα μόλις διαζήσας ἐκείνην εἰς τὴν ἑξῆς ἐτελεύτησεν.* — β' (φ. 2 α). "Ὑπόμνημα εἰς τὸν ἅγιον ἀπόστολον Τιμόθεον Ἐφέσου γενόμενον πρόεδρον."—γ' (φ. 7 α). "Βίος, ἄσκησις, πολιτεία καὶ μαρτύριον τοῦ ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου."—δ' (φ. 29 α). "Βίος καὶ πολιτεία καὶ ἄσκησις καὶ ἀγῶνες τῆς μακαρίας Μαρίας τῆς Αἰγυπτίας."—ε' (φ. 44 α). "Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος τοῦ Χριστοῦ καὶ θαυματουργοῦ Προκοπίου."—ϛ' (φ. 70 β). "**Ἀστερίου** τοῦ ἐν ἁγίοις ἐπισκόπου **Ἀμασῆας** Ἔκφρασις τῶν ἀγώνων τοῦ μαρτυρίου τῆς πανευφήμου καὶ

μεγαλομάρτυρος Εὐφημίας."—ζ' (φ. 72β). "Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος τοῦ Χριστοῦ καὶ θαυματουργοῦ Παντελεήμονος."—η' (φ. 89β). "Βίος καὶ πολιτεία τοῦ ἁγίου καὶ δικαίου Εὐδοκίμου."—θ' (φ. 99α). "Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας."—ι' (φ. 132α). "Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐσεβίας τῆς μετονομασθείσης Ξένης."—ια' (φ. 141α). "Βίος καὶ πολιτεία τοῦ ὁσίου Ξενοφῶντος καὶ τῶν αὐτοῦ τέκνων Ἰωάννου καὶ Ἀρκαδίου."—ιβ' (φ. 155β). "Ὑπόμνημα τύπον ἱστορίας κεφαλαιώδους ἐπέχον ἐπὶ τῇ ἀνακομιδῇ τοῦ τιμίου λειψάνου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου."—ιγ' (φ. 163β). "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου."—ιδ' (φ. 175α). "Λόγος διηγηματικὸς περὶ τῆς ἐν ἀρχῇ παραγωγῆς καὶ οἰκοδομῆς τοῦ πανσέπτου ναοῦ τῆς πανυμνήτου Θεοτόκου τῶν Κύρου."

2 (φ. 183α). Μηναῖον Νοεμβρίου δ'—ζ' (Ἀκέφ. κολ.).

Τὰ φ. 183—191 χαρτῷα.

Τὰ ἐκ περγαμηνῆς φύλλα κοσμοῦνται ὑπὸ κομψῶν ἐπιτίτλων ἐν τῇ ἀρχῇ τῶν πρώτων βίων, τὰ δὲ τῶν λοιπῶν εἰσιν ἁπλῶς ἐρυθρά.

4549. 429. Περγ. 4. XIV.

Συναξάριον Σεπτεμβρίου—Φεβρουαρίου.

4550. 430. Περγ. 4. XIII. σελ. 2.

Συναξάριον Σεπτεμβρίου—Φεβρουαρίου.

4551. 431. Περγ. 4. XIV. σελ. 2.

1. Συναξάριον Μαρτίου—Αὐγούστου.

Ἐν τέλει "Πίναξ τοῦ Συναξαρίου τοῦ [**Νικηφόρου Καλλίστου**] **Ξανθοπούλου**."

2. "**Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου**

Συναξάρια εἰς τὰς ἐπισήμους ἑορτὰς τοῦ Τριῳδίου ἀρχόμενα ἀπὸ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου, καὶ καταλήγοντα μέχρι τῶν ἁγίων Πάντων..."

Φύλλα τινὰ τοῦ ὑπ' ἀρ. 1 Συναξαρίου τοῦ Αὐγούστου, ἀποσπασθέντα ἐκ τῆς οἰκείας θέσεως, εὕρηνται νῦν μεταξὺ τῆς κη' καὶ κθ' τοῦ μηνός.

4552. 432. Χαρτ. 8. XIV.

Συναξάριον Σεπτεμβρίου—Φεβρουαρίου.

4553. 433. Χαρτ. 4. XV. σελ. 2.

Μηναῖον Μαρτίου—Αὐγούστου (ἀκέφ. κολ.).

4554. 434. Χαρτ. 8. XVII.

Βίοι καὶ μαρτύρια ἁγίων κατ' ἐκλογήν.

Φεβρουαρίου ζ'—Ἀπριλίου λ'. Ἐν τέλει· Ἐγράφη ἐν ἔτει σωτηρίῳ α^ῳ^χ^ῳ^ζ^ῳ^η^ῳ^ (=1698)...ἐγράφη δὲ διὰ χειρὸς Θεοκλήτου εὐτελοῦς τῶν ἱερομονάχων, διὰ δὲ συνδρομῆς καὶ ἐξόδου τοῦ πανοσιωτάτου καὶ ἁγίου προηγουμένου καὶ σκευοφύλακος τῆς αὐτῆς μονῆς κυρίου κυρίου παπᾶ κῦρ Δαμασκηνοῦ."

Ἐν ἀρχῇ "Πίναξ τοῦ παρόντος βιβλίου."

4555. 435. Χαρτ. 4. XVI.

Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοὶ λδ'.

Ὅλου τοῦ ἐνιαυτοῦ κατ' ἐκλογήν.

4556. 436. Χαρτ. 4. XVI.

Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοὶ λβ'.

Ὅλου τοῦ ἐνιαυτοῦ κατ' ἐκλογήν.

Ἐν τέλει·...Ἐγράφει δὲ ἐν ἔτει ͵ζκα' ἰνδ. α^ης^ (=1513) τῷ πρώτῳ ἔτει τῆς αὐταρχίας ἢ κυραννίδος τοῦ Σουλτὰν Σάλεμ τοῦ Ὀτμάν.+Τοῦ εὐτελοὺς Θεοδοσίου θύτου τάλανος τάχα καὶ ῥακενδύτου.

4557. 437. Χαρτ. 4. XVI.

Ἐφραὶμ τοῦ Σύρου Λόγοι ξα'.

Ἐν τέλει· Ἔτους ͵ζ^ῳ^π^ῳ^ μηνὶ Ἰανουαρίῳ κδ' (=1572) Νεοφύτου μοναχοῦ.

4558. 438. Βομβ. 4. XIV. (φ. 266).

1 (φ. 1α). Ἐκλογὴ ἀποσπασμάτων πατέρων.

Ἀρχ. (ἀκέφ.)...ἐν τοῖς βιωτικοῖς οἱ τελῶναι ἐν τοῖς σαρκικοῖς οἱ πόρνοι ἐν τοῖς φωνιτικοῖς οἱ Φαρισσαῖοι καὶ οἱ πονηρευόμενοι καὶ διὰ τοῦτο χαλεπώτεραι αἱ φρονητικαὶ ἁμαρτίαι.

Ἐν φ. 72α· "Ἀρχὴ τῶν Δογματικῶν τοῦ αὐτοῦ βιβλίου περὶ δογμάτων ἀναγκαιοτάτων τοῦ ἁγίου **Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως**." Ἐκ τῆς ἐπιγραφῆς δὲ ταύτης, γεγραμμένης ἐντὸς αὐτοῦ τοῦ κειμένου διὰ κιρρᾶς γραφῆς ὡς καὶ αἱ λοιπαὶ ἐπιγραφαὶ τῶν κεφαλαίων, φαίνεται λαβοῦσα ἀφορμὴν ἡ κατὰ τὴν ἐν τοῖς νεωτάτοις χρόνοις στάχωσιν τοῦ κώδικος γραφεῖσα ἐπὶ δελταρίου ἔξωθεν τοῦ κώδικος ἐπιγραφὴ ἥδε· "**Νικηφόρου Κωνσταντινουπόλεως** Δογματικά."

2 (φ. 209α). "Παραβολαὶ τοῦ Εὐαγγελίου παρεκβληθεῖσαι ἀπὸ **διαφόρων ἐξηγητῶν**."

3 (φ. 229α). "Περὶ οὐρανοῦ."

4 (φ. 249β). "Ὑπόθεσις **Εὐσεβίου τοῦ Παμφίλου** εἰς τὴν ὑπόθεσιν τῶν Ψαλμῶν."

4559. 439. Χαρτ. 8. XIV.

Βίοι καὶ μαρτύρια ἁγίων Νοεμβρίου καὶ Δεκεμβρίου κατ' ἐκλογήν.

4560. 440. Χαρτ. 8. XV.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

Ἐν τέλει·

Δῶρον μὲν Θεοῦ Ἰωάκειμ δ' ὁ πόνος
εἴληφε τέλος χερσὶ τοῦ Ἡσυχίου.

4561. 441. Χαρτ. 8. XV.

Ἐφραὶμ τοῦ Σύρου Λόγοι ἀσκητικοὶ λη'.

4562. 442. Περγ. 8. XIV.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου. Προτάσσονται α'. **Ἰωάννου ἡγουμένου τῆς Ῥαϊθοῦ** Ἐπιστολή.—β'. Ἀμοιβαία πρὸς αὐτὸν ἐπιστολὴ **τοῦ συγγραφέως**.—γ'. Βίος τοῦ συγγραφέως ἐν ἐπιτομῇ.

4563. 443. Περγ. 8. XIV.

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ.

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου. Προτάσσονται α'.

"Προθεωρία τῆς ἁγίας Κλίμακος."—βʹ. "Πίναξ ἐναργὴς τῆς γραφῆς τοῦ βιβλίου."—γʹ. Βίος τοῦ συγγραφέως ἐν ἐπιτομῇ.

Ὁ δὲ πρὸς τὸν Ποιμένα λόγος ἄρχ. (ἀκέφ.)....πολλὰ λυκόβρωτα γίνεσθαι πλὴν εἰ καὶ αὐτὰ κατὰ τὸ ἐν τοῖς προβάτοις ὁρώμενον ἔθος.

2. "Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου Λογος ἀσκητικός."

Ἄρχ. Φιλοσοφεῖν μὲν ἐπετηδεύσαντο καὶ Ἑλλήνων πολλοί.

4564. 444. Χαρτ. 8. XVII.

1. Θηκαρᾶ Ὕμνος τριαδικός.

Ἐν τέλει· Τὸ παρὸν βιβλίον ἐγράφη χειρὶ Παρθενίου μοναχοῦ ἐν ἔτει ‚ζρνηῳʹ μηνὶ Μαρτίῳ (=1600).

2. Τοῦ αὐτοῦ Εὐχαί.

3. Θεοδούλου μοναχοῦ Διήγησις περὶ τῶν ὕμνων.

4. "Τοῦ αὐτοῦ Περὶ εὐχαριστίας καὶ περὶ πάσης ἀρετῆς."

5. "Διονυσίου μοναχοῦ Γνωστικὰ κεφάλαια νʹ Περὶ διαφορᾶς τῶν ὕμνων."

6. "Τοῦ αὐτοῦ Ἑρμηνεία πῶς δεῖ καὶ ὅθεν μεταγράφειν τοὺς ὕμνους."

7. "Ὡρολόγιον σὺν Θεῷ τῶν θείων ὕμνων μετὰ τροπαρίων. Εἰσὶ δὲ πόνημα Θηκαρᾶ μοναχοῦ."

4565. 445. Χαρτ. 8. XV.

1. Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου. Προτάσσονται αʹ. Πίναξ.—βʹ. Βίος καὶ πολιτεία τοῦ συγγραφέως ἐν ἐπιτομῇ.—γʹ. Ἀββᾶ Ἰωάννου ἡγουμένου τῆς Ῥαϊθοῦ Ἐπιστολή.—δʹ. Ἀμοιβαία ἐπιστολὴ πρὸς αὐτὸν τοῦ συγγραφέως.—εʹ. "Ἐπίγραμμα εἰς τὴν Κλίμακα."

2. Βίοι ἁγίων.

αʹ. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου."—βʹ. "Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀλεξίου ἀνθρώπου τοῦ Θεοῦ."—γʹ. "Βίος καὶ πολιτεία Ξενοφῶντος συγκλητικοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Μαρίας καὶ τῶν τέκνων αὐτοῦ Ἀρκαδίου καὶ Ἰωάννου."

4566. 446. Περγ. 8. XIV.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ

μετὰ καὶ τοῦ πρὸς τὸν Ποιμένα λόγου. Ἐν ἀρχῇ καὶ τέλει ἀνὰ δύο φύλλα (Περγ.) περιέχοντα Κανόνας καὶ ἄλλην ἐκκλησιαστικὴν ὕλην. Τὸ ἕτερον μέρος ἑνὸς τῶν φύλλων γέγραπται σλαβιστί.

4567. 447. Βομβ. 8. XIV.

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ.

Τὰ πρῶτα φύλλα χαρτῷα. Ἐν ἀρχῇ καὶ τέλει ἓν φύλλον (Περγ.) περιέχον Εὐαγγελίου μέρος.

4568. 448. Χαρτ. 8. XIV.—XVII.

1. Βίοι καὶ μαρτύρια ἁγίων καὶ Λόγοι πανηγυρικοί.

2. Ἁγίου Νικήτα τοῦ μακαρίου φιλοσόφου Στοιχείωσις τοῦ πνευματικοῦ νόμου κατὰ στοιχεῖον.

3. "Διάλεξης τοῦ παναγιωτάτου Κωνσταντίνου γεγωνία ἐν Κωνσταντινουπόλη μετὰ τοῦ γαρδυναρίου Εὐφροσύνου, ὅτε ὁ Βέκων Ἰωάννης ἀπὸ του πάπα ελήλυθεν μετὰ ἑτέρων γαρδυναρίων ἐπιφέροντες τὴν μοῦλαν τοῦ πάπα σελιχαλινομένην ἐπάνω δὲ αὐτοῖς ἔχων τὴν στήλην τοῦ πάπα καὶ τὴν θάλην."

Ἄρχ. Ὁ δὲ Βέκων φορῶν τὴν μιστερέαν εἰς τὸν μέγαν δάκτιλον λίθον καὶ ἐξῆλθεν ὁ Παλαιολόγος ἐκ τῆς πόρτας τοῦ παλατίου βήματα ιβʹ καὶ προσεκύνησε τὴν στήλην τοῦ πάπα. Τέλ. ὁ ἀζυμήτης καὶ ἐσοῖς οὕτως ποιεῖται εἰ μὴ μόνον ἡ βασίλησα ἐκείνη ἡ πορνεύσασα μετὰ τῶν φάρων καὶ ποιήσασα τὸν ἰπὸ-ἄνθρωπον.

Ὁ κῶδιξ, ἀποτελούμενος ἐκ διαφόρων σπαραγμάτων ἄλλων κωδίκων, ὧν τινα ἀκέφαλα ἢ κολοβά, γέγραπται ὑπὸ διαφόρων χειρῶν.

4569. 449. Χαρτ. 8. XIV.

Βίοι ἁγίων καὶ ὑπομνήματα.

αʹ. "Βίος καὶ πολιτεία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου."—βʹ. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ξενοφῶντος."—γʹ. Εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ Χρυσοστόμου.—δʹ. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου."—εʹ. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ."—ϛʹ. "Διήγησις ὠφέλιμος ἐκ παλαιᾶς ἱστορίας συλλεγεῖσα καὶ ἀνάμνησιν δηλοῦσα τοῦ παραδόξως γενομένου θαύματος, ἡνίκα Πέρσαι καὶ βάρβαροι τὴν βασιλίδα ταύτην πολέμῳ περιεκύκλωσαν..."—ζʹ. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρσενίου." Ἄρχ. Ἀλλὰ τῶν σπουδαίων ἄρα καὶ φιλαρέτων ἀνδρῶν.—ηʹ. "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Ξενοδόχου." Τέλ. (κολ.)· μετὰ τοῦ θαυμασιώτερόν τε καὶ χαριέστερον εἶναι μᾶλλόν ἐστι καὶ σεβασμιώτερον· τὸ γὰρ διηνεκὲς ἴσως....

4570. 450. Χαρτ. 8. XV. (φ. τμϛʹ).

Βίοι καὶ μαρτύρια ἁγίων κατ᾽ ἐκλογήν.

Ὁ κῶδιξ ἐστι τιλφόβρωτος.

4571. 451. Χαρτ. 8. XVII.

Μαξίμου τοῦ Πελοποννησίου Κυριακοδρόμιον.

4572. 452. Χαρτ. 8. XVIII.

Διδαχαὶ εἰς τὸ Εὐαγγέλιον λʹ.

Ἐν τῇ καθωμιλημένῃ.

4573. 453. Χαρτ. 8. XVIII.

"Βίος καὶ πολιτεία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἰωάννου, Εὐθυμίου καὶ Γεωργίου τῶν κτητόρων τῆς καθ᾽ ἡμᾶς ἱερᾶς μεγίστης λαύρας τῶν Ἰβήρων."

Ἐν ἀρχῇ·...ἐκαλληγραφήθη παρὰ ἀνέρος Σαμίου Κοσμᾶ μοναχοῦ...αψνηʹ Φευρουαρίου ιθηʹ (=1758).

4574. 454. Χαρτ. 8. XVI.

1. Ὁμιλίαι εἰς τὸ σύμβολον τῆς πίστεως ιαʹ.

2. "Διδαχὴ ἡ σύναξις τῶν ἀσωμάτων δυνάμεων."

3. "Διδαχὴ τῆς ἁγίας Περιτομῆς."

4. "Διδαχὴ τῆς ἁγίας μεγαλομάρτυρος Βαρβάρας." (κολ.).

Ἅπαντα ἐν τῇ καθωμιλημένῃ.

4575. 455. Χαρτ. 8. XIX.

"Νέον βιβλίον πατερικόν."

4576. 456. Χαρτ. 8. XVIII.

1. «Ἀπόδειξις περὶ τοῦ ποῦ αἱ τῶν τελευτώντων ψυχαὶ ἀπέρχονται καὶ πῶς εἰσὶ μετὰ τὴν διάζευξιν· **Γρηγορίου τοῦ Διαλόγου.**»

2. Διηγήσεις ἐκ τοῦ Γεροντικοῦ.

4577. 457. Χαρτ. 8. XVIII. (φ. 240).

1 (φ. 1 α). «Ἐξήγησις τῆς θείας λειτουργίας ἀνελλειπὴς καὶ λεπτομερής, συλλεχθεῖσα καὶ στιχουργηθεῖσα παρὰ **Κωνσταντίνου Δαπόντε,** τοῦ μετονομασθέντος **Καισαρίου,** ἀφιερωθεῖσα δὲ τῷ πανιερωτάτῳ καὶ θεοπροβλήτῳ μητροπολίτῃ Οὐγγροβλαχίας κυρίῳ κυρίῳ Φιλαρέτῳ, ἡγεμονεύοντος τοῦ εὐσεβεστάτου καὶ ὑψηλοτάτου αὐθέντου καὶ ἡγεμόνος κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Νικολάου βοεβόδα τοῦ Μαυροκορδάτου Τόμος πρῶτος.»

Ἐξεδόθη τύποις ἐν Βιέννῃ τῷ 1795. Ἴδ. **Βρετοῦ** Νεοελληνικὴ φιλολογία. Μέρ. α' σ. 122 ἀρ. 343.

2 (φ. 224 α). **Τοῦ αὐτοῦ** «Ἕτεροι ὕμνοι.»

Ἀρχ.

Ἀλλ' ἐπειδὴ Κυρία μου (πρὸς σὲ γυρίζω πάλιν
τὸν λόγον μου ὁ δοῦλος σου μὲ συστολὴν μεγάλην).

Τέλ.

Χαῖρε παρθένε Μαριὰμ τὸ μετὰ τὸν Χριστόν μου
γλυκύτατόν μου ὄνομα καὶ πολυδόξαστόν μου.

Στίχοι 120.

3 (φ. 229 α). **Τοῦ αὐτοῦ** «Μεγαλυνάριον» εἰς τὴν Θεοτόκον.

4 (φ. 230 β). «**Τοῦ αὐτοῦ κὺρ Καισαρίου** Εἰς τὸν ἅγιον μέγαν Νικόλαον.»

Ἀρχ.

Ὅλα τὰ ἄνθη τὰ τῆς γῆς εὔμορφα καὶ ὡραῖα
ὅλα καλά, ὅλα τερπνά, εὐώδη καὶ ἡδέα
Ἡ δύνουσι τὸν ἄνθρωπον, χαρὰ τὸν ἐγεμίζουν
τὴν γῆν καθωραΐζουσι τοὺς κάμπους της στολίζουν.

Τέλ.

Αἰνεῖτε πάντες τὸν Θεόν, τὸ ὄνομα Κυρίου
πατρὸς υἱοῦ καὶ Πνεύματος, Θεοῦ τοῦ τρισαγίου
Ὦ πάντες καὶ λατρεύομεν ὃν καὶ δοξολογοῦμεν
νῦν καὶ ἀεὶ καὶ πάντοτε ἀμὴν καὶ προσκυνοῦμεν.

Στίχοι 250.

5 (φ. 240 β). **Τοῦ αὐτοῦ** «Μεγαλυνάριον» εἰς τὸν ἅγιον Νικόλαον.

4578. 458. Χαρτ. 8. XVI.

1. Βίοι καὶ μαρτύρια ἁγίων κατ' ἐκλογήν.

2. **Ἐφραὶμ τοῦ Σύρου** Λόγοι.

3. **Ἰωάννου τοῦ Χρυσοστόμου**

α'. Εἰς τὴν μεγάλην Δευτέραν.—β'. Εἰς τὴν παραβολὴν τῶν ι' παρθένων.—γ'. Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τετάρτῃ εἰς τὴν Πόρνην.

4. **Μακαρίου τοῦ Αἰγυπτίου** Διήγησις.

5. Λόγος εἰς τὸν Δαβίδ.

6. **Ἰωάννου τοῦ Χρυσοστόμου** Εὐχὴ στιχουργικὴ εἰς τὴν Θεοτόκον.

7. [**Συμεὼν**] **τοῦ μεταφραστοῦ** Στίχοι κατ' ἀλφάβητον.

8. Κανόνες.

α'. Παρακλητικὸς εἰς τὸν Χριστόν.—β'. Εἰς τὴν Θεοτόκον.—γ'. Εἰς τὸν Χριστόν (κολ.)

9. «Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ.»

Τὸ ὑπ' ἀρ. 9 εἰς σχῆμα 16ον.

Ἅπαντα ἐν τῇ καθωμιλημένῃ.

4579. 459. Χαρτ. 8. XV. (φ. 118).

Ἀββᾶ Ἡσαΐου Λόγοι.

α' (φ. 1 α). Ἀνεπίγραφος. Ἀρχ. (ἀκέφ.)·...δρὰν ὅστις δὲ γρηγορεῖ περὶ τὸ μὴ αἰχμαλωτισθῆναι ἀγαπᾷ τὸ παραρίπτειν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ ἀεί.—β' (φ. 2 β). «**Τοῦ αὐτοῦ** Περὶ ἐντολῶν πιστῶν καὶ οἰκοδομῆς τῶν θελόντων μετ' εἰρήνης οἰκῆσαι μετ' ἀλλήλων.» Ἀρχ. Ἐὰν περιπατεῖτε μετ' ἀλλήλων ἐν ὁδῷ προσέχετε ἐν ἅπασι τῷ λογισμῷ τοῦ ἐν ὑμῖν ἀσθενοῦς.—γ' (φ. 10 β). «**Τοῦ αὐτοῦ** Περὶ τῆς χαρᾶς τῆς γενομένης τῇ ψυχῇ τῇ θελούσῃ δουλεύειν τῷ Θεῷ.» Ἀρχ. Ἐν πρώτοις μὲν ἀσπάζομαί σε ἐν φόβῳ Θεοῦ καὶ παρακαλῶ, ἵνα τέλειος ἔσῃ κατὰ τὸ εὐάρεστον αὐτῷ.—δ' (φ. 26 α). «**Τοῦ αὐτοῦ** Περὶ μετανοίας.» Ἀρχ. Ἐπηρωτήθη ὁ ἀββᾶς Ἡσαΐας τί ἐστι μετάνοια, καὶ ἀπεκρίθη λέγων Ὁδοὶ δύο εἰσὶ μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου.—ε' (φ. 40 β). «**Τοῦ αὐτοῦ** Περὶ ἀρετῶν.» Ἀρχ. Τρεῖς ἀρεταί εἰσι προνοοῦσαι τοῦ νοὸς διὰ παντός, καὶ χρείαν αὐτῶν ἔχει ἡ κατὰ φύσιν ὁρμή.—ς' (φ. 47 α). «**Τοῦ αὐτοῦ** Ἀποφθέγματα.» Ἀρχ. Εἶπεν ὁ ἀββᾶς Ἡσαΐας ὅτι τέως ἐγὼ βλέπω ἐμ' αὐτὸν ὡς ἵππον πλανώμενον μὴ ἔχοντα δεσπότην.—ζ' (φ. 55 β). «**Τοῦ αὐτοῦ** Ἐντολαὶ τοῖς ἀποταξαμένοις.» Ἀρχ. Εἰ ἀπετάξω τῷ κόσμῳ καὶ δέδωκας σεαυτὸν τῷ Θεῷ μετανοῆσαι.—η' (φ. 57 β). «**Τοῦ αὐτοῦ** Λόγος ἕτερος.» Ἀρχ. Τῷ ἁγίῳ Πέτρῳ τῷ ἀποστόλῳ ἔδειξεν ὁ Θεὸς μηδένα ἄνθρωπον ἔχειν κοινὸν ἢ ἀκάθαρτον.—θ' (φ. 59 β). «Περὶ τοῦ κόκκου σινάπεως.» Ἀρχ. Μυστήριον περὶ τοῦ κόκκου τοῦ σινίπεως καθὼς εἶπον οἱ πατέρες.—ι' (φ. 60 β). «**Τοῦ αὐτοῦ** Περὶ τοῦ οἴνου.» Ἀρχ. Μυστήριον περὶ τοῦ οἴνου καὶ τῆς τοῦ ἀνθρώπου φύσεως.—ια' (φ. 63 α). «**Τοῦ αὐτοῦ** Περὶ τῶν ἀγωνισαμένων καὶ τελειωσάντων.» Ἀρχ. Ταῦτά ἐστι τὰ σημεῖα ἃ ἐποίησεν ὁ κύριος Ἰησοῦς πρὸ τοῦ ἀναβῆναι ἐπὶ τὸν Σταυρόν.—ιβ' (φ. 67 β). «**Τοῦ αὐτοῦ** Πρᾶξις τοῦ πένθους.» Ἀρχ. Οὐαί μοι, οὐαί μοι ὅτι οὔπω ἠλευθερώθην ἀπό τινος τῆς γεέννης.—ιγ' (φ. 70 β). «**Τοῦ αὐτοῦ** Περὶ τῶν λογισμῶν τῆς ἀποταγῆς καὶ τῆς ξενιτείας.» Ἀρχ. Πρὸ πάντων ὁ πρῶτος ἀγών ἐστιν ἡ ξενιτεία· μάλιστα εἰ καὶ κατα μόνας φυγὼν τὰ ἴδια καταλείψεις.—ιδ' (φ. 78 α). «**Τοῦ αὐτοῦ** Περὶ ἀμνησικακίας.» Ἀρχ. Ὁ ἅγιος Ἀπόστολος ἐνετείλατο τοῖς τέκνοις αὐτοῦ λέγων Ὁ κύριος ἐγγὺς μηδὲν μεριμνᾶτε.—ιε' (φ. 81 β). «**Τοῦ αὐτοῦ** Περὶ παθῶν.» Ἀρχ. Ἤρεσε καμοὶ μετὰ τοῦ προφήτου λέγειν Ἡσαΐου· ἐκαρτέρησα ὥσπερ ἡ τίκτουσα.—ις' (φ. 84 β). «Τοῦ αὐτοῦ Περὶ ταπεινοφροσύνης.» Ἀρχ. Ἠρωτήθη ὁ ἀββᾶς Ἡσαΐας τί ἐστι ταπείνωσις καὶ ἀπεκρίθη λέγων. Ταπείνωσίς ἐστι τὸ λογίσασθαι ἑαυτὸν ἁμαρτωλὸν εἶναι.—ιζ' (φ. 85 α). «**Τοῦ αὐτοῦ** Περὶ πράξεως τοῦ καινοῦ ἀνθρώπου.» Ἀρχ. Ἀγαπητοί μοι ἀδελφοὶ γνωρίζεται ὁ Ἑβραῖος διὰ τριῶν ἔργων.—ιη' (φ. 94 β). «**Τοῦ αὐτοῦ** Περὶ τελειότητος.» Ἀρχ. Εἶπέ τις τῶν πατέρων, ὅτι ἐὰν μὴ κτήσηται ἄνθρωπος τὸ εἰς τὸν Θεὸν πιστεύειν.—

ιθ' (φ. 103β). "Τοῦ αὐτοῦ Πρὸς ἀββᾶν Πέτρον τὸν αὐτοῦ μαθητήν." Ἀρχ. Καθὼς γεγράφηκάς μοι ὅτι μετάνοιαν θέλω δοῦναι τῷ Θεῷ. Τέλ. (κολ.)· διατὶ ἀπέστρεψεν ὁ λαὸς οὗτος ἀποστροφὴν ἀναιδῆ· καὶ ἐκραταιώθησαν ἐν...

4580. 460. Χαρτ. 8. XVII.

Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις.

Ἐν τέλει· Ἔτος σωτήριον $\alpha^{\omega}\chi^{\varphi}\pi^{\varphi}\theta'^{\varphi}$ (=1689) ἐγράφη διὰ χειρὸς Θεοκλήτου ἱερομονάχου.

4581. 461. Περγ. 8. XIII.

Ἰωάννου τοῦ Δαμασκηνοῦ Βίος Βαρλαὰμ καὶ Ἰωάσαφ.

Ἀρχ. (ἀκέφ.)·...θήσεις τῷ καλοῦντι σε Θεῷ καὶ δεσπότῃ ὃς προσκαλεῖταί σε ἀπὸ θανάτου πρὸς ζωὴν καὶ ἀπὸ σκότους πρὸς φῶς. Τέλ. (κολ.)· πάντα αὐτῷ δῆλα τὰ περὶ τοῦ μακαρίτου τίθησιν Ἰωάσαφ· ὁ δὲ μὴ μελήσας ἀπέρχεται αὐτὸς μετὰ δυνάμεως ὄχλου καὶ τῷ σπη...

4582. 462. Περγ. 4. XII.

Ἰωάννου τοῦ Δαμασκηνοῦ Βίος Βαρλαὰμ καὶ Ἰωάσαφ.

Ἀρχ. (ἀκέφ.)·...τημένη τῶν πράξεων· ὅτε δὲ ὁ μονογενὴς τοῦ Θεοῦ υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς τὸ ἑαυτοῦ πλάσμα μὴ φέρων ὁρᾶν. Τέλ. (κολ.)· προστάγματι δέ τινος φοβερωτάτου κατ' ὄναρ κραταιῶς ἐπισκήπτοντος, πεισθεὶς ὁ τοῦτον...

*4583. 463. Περγ. 8. XIV. (φ. 135).

"Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης πρὸς τὴν ἁγίαν πόλιν μετενεχθεῖσα διὰ **Ἰωάννου μοναχοῦ** ἀνδρὸς τιμίου καὶ ἐναρέτου μονῆς τοῦ ἁγίου Σάββα, διηγουμένη τὸν βίον τῶν ὁσίων πατέρων ἡμῶν Βαρλαὰμ καὶ Ἰωάσαφ."

Τέλ. (κολ.)· καὶ τῷ βασιλεῖ Βαραχίᾳ προσελθὼν πάντα αὐτῷ δῆλα περὶ τοῦ μακαρίου τίθησιν Ἰωάσαφ· ὁ δὲ μὴ μελλήσας αὐτὸς ἀπέρχεται...

Αἱ τελευταῖαι λέξεις συγκεχυμέναι καὶ γεγραμμέναι διὰ ζωηροτέρου μέλανος ὑπὸ νέας χειρὸς ἐπὶ τῶν ἀμυδροτέρων παλαιῶν.

Περὶ τὸ ἑλληνικὸν κείμενον ἐν τῇ ᾤᾳ παλαιὰ γαλλικὴ μετάφρασις, ἧς ἡ ἐπιγραφὴ ἄνω τοῦ φ. 2α δι' ἐρυθρᾶς γραφῆς· Ici commence une estoire profitable...Ἴδ. περὶ αὐτῆς P. Mayer Fragments d'une traduction française de Barlaam et de Joasaph ἐν τῇ Bibliothèque de l'Ecole des Chartes (6 série, Τόμ. Β' 1866).

Ὁ κῶδιξ κοσμεῖται ὑπὸ ὀγδοήκοντα εἰκόνων ἐπιμήκων καὶ στενῶν, ὧν τὸ μὲν μῆκος συνήθως 0,126, τὸ δὲ πλάτος 0,035—0,045 πλὴν τῆς ἐν φ. 107β, ἧς τὸ μὲν μῆκος 0,13, τὸ δὲ ὕψος 0,082. Αἱ εἰκόνες αὗται εἰσιν ἄτεχνοι καὶ παριστῶσιν ἐπεισόδια τοῦ βίου. Ἡ πρώτη δὲ αὐτῶν (φ. 1β), παριστῶσα ἅγιον γενειῶντα καὶ γράφοντα ἐν μέσῳ οἰκημάτων, εἰκονίζει πάντως τὸν ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν.

4584. 464. Χαρτ. 8. XVII. (φ. 332).

"Βίβλος Βαρλαὰμ σὺν λαμπρῷ Ἰωάσαφ.

[Ἰ]στορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς λεγομένης Ἰνδίας τὴν ὁποίαν τὴν ἐξηγήθηκαν τινὲς ἄνδρες τίμιοι οἵτινες ἦλθοσαν ἀπὸ τῆς Ἰνδίας εἰς τὴν Ἱερουσαλὴμ εἰς τὸ μοναστήριον τοῦ ἁγίου Σάββα καὶ ἔγραψέ την ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν **Ἰωάννης ὁ Δαμασκηνός.**"

Ἀρχ. Ὁ θεῖος ἀπόστολος Παῦλος λέγει οὕτως· Ὅσοι πνεύματι θείῳ ἄγονται οὗτοί εἰσιν υἱοὶ Θεοῦ τουτέστιν ὅσοι περιπατοῦσιν ἐν πνεύματι ἁγίῳ κάμνοντες τὰς ἐντολὰς τοῦ Θεοῦ ἐκεῖνοι εἶναι υἱοὶ τοῦ Θεοῦ. Τέλ. νὰ ἀξιωθοῦμεν εἰς τὴν μερίδα ἐκεινῶν ὁποῦ ἐφάνηκαν εὐάρεστοι εἰς τὸν Κύριον με ταῖς εὐχαῖς καὶ πρεσβείαις τοῦ Βαρλαὰμ καὶ Ἰωάσαφ τῶν μακαρίων ἀνδρῶν περὶ τῶν ὁποίων εἶναι αὐτὴ ἡ διήγησις ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ᾧ πρέπει δόξα τιμὴ κράτος καὶ μεγαλοπρέπεια σὺν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

Ἐν τέλει· Ἐτελειώθη ἡ παροῦσα διήγησις Βαρλαὰμ καὶ Ἰωάσαφ διὰ χειρὸς Μιχαὴλ Ἀριόλου τοῦ ἐξ Ἀθηνῶν καὶ ἐπαιδώθη διὰ σύνδρομῆς καὶ ἐξόδου τοῦ ἐντημωτάτου ἐν ἄρχουσι κυροῦ Ἰωάννου Παπαδούκα... ἐν ἔτει ,αχιζ' Ἰουλίῳ ιθ' (=1617).

*4585. 465. Χαρτ. 8. XVIII. (φ. 358).

"Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης μενενεχθεῖσα πρὸς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ διὰ **Ἰωάννου μοναχοῦ** μονῆς τοῦ ἁγίου Σάββα."

Ἐν τέλει· Τέλος καὶ τῷ Θεῷ δόξα. Ἐγράφη διὰ χειρὸς ἐμοῦ τοῦ εὐτελοῦς Λάμπρου τοῦ Τυρναβίτου εἰς ἔτει ,αψμη' (=1748). Ἐν δὲ τῇ κάτω ᾤᾳ τῆς πρώτης σελίδος· Τόδε σὺν τοῖς ἄλλοις Ζαχαρίου προηγουμένου τῶν Ἰ[βήρων] καὶ ἀμέσως κατωτέρω· Ἐκ τῶν τῆς βιβλιοθήκης Ἰβήρων. Κατ' ἄλλο δὲ σημείωμα ἐν τέλει τοῦ κώδικος Ἦτον τοῦ μακαρίου Ζαχαρίου καὶ μετὰ τὸν θάνατον ἐκείνου, ὠνησάμην τοῦτο ἐν τῇ καθ' ἡμᾶς Ἱερᾷ συνάξει· ὅθεν τανῦν γέγονε κτῆμα κἀμοῦ τοῦ εὐτελοῦς προηγουμένου τῆς αὐτῆς μονῆς Μελετίου, τοῦ ἐκ Σμύρνης, ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ τρίτῳ κατὰ τὸν Μάρτιον. Καὶ οἱ κατὰ καιρὸν ἀναγινόσκοντες εὔχεσθε ὑπὲρ ἐμοῦ καὶ ὑπὲρ τῆς ἐκείνου ψυχῆς.

Γέγραπται ὁ κῶδιξ διὰ γραμμάτων ἀπομιμουμένων τὰ τῶν ἐντύπων βιβλίων μετὰ πολλῆς ἐπιμελείας καὶ τέχνης. Κοσμεῖται δὲ ὑπὸ ἐξαιρέτου ἐπιτίτλου ἐν ἀρχῇ, τελικοῦ κοσμήματος ἐν τέλει καὶ ἐνίων ἀρχικῶν γραμμάτων εὐτέχνων, ἐσχεδιασμένων διὰ γραφίδος μέλανι καὶ ἐρυθρᾷ βαφῇ.

Ἴδ. περὶ τούτου τοῦ κώδικος ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ "Ἰβηριτικὸν χειρόγραφον τῆς μυθιστορίας Βαρλαὰμ καὶ Ἰωάσαφ" μετὰ καὶ πανομοιοτύπου τῆς πρώτης σελίδος ἐν τῇ Εἰκονογραφημένῃ Ἑστίᾳ Ἰούλιος—Δεκέμβριος 1893 σ. 327 κ. ἑ.

Ἔπιθι τὸν ὑπὸ τοῦ αὐτοῦ βιβλιογράφου δι' ὁμοίας γραφῆς γεγραμμένον κώδικα 5904 (397).

4586. 466. Χαρτ. 8. XVII.

Ἐν ἀρχῇ "Πίναξ τοῦ παρόντος βιβλίου," ἐν ᾧ περιέχονται Κεφάλαια σμζ΄, ἅτε πάντων τῶν ἐν τῷ κώδικι ἐμπεριλαμβανομένων Ἀποσπασμάτων ἀναγραφομένων.

Ἐντέλει·...Ἐν ἔτη ,ζλη΄ ἐν μηνὶ Φευρουαρίῳ ιδ΄ ἡμέρα Δευτέρα...(=1530).

5458. 1338. Χαρτ. 16. XVII. (σ. 236).

Ἀδήλου Κεφάλαια.

α΄ (σ. 1). "Περὶ τῶν τῆς ἐπιθυμίας παγήδων."—β΄ (σ. 9). "Περὶ τῆς ἀθλιότητος τοῦ ἀνθρώπου καὶ τῶν τοῦ Θεοῦ εὐεργεσιῶν."—γ΄ (σ. 18). "Ὅτι ὁ Θεὸς ἀϊδίῳ θεωρίᾳ ἐποπτεύει τὰ ἔργα καὶ τοὺς λογισμοὺς τῶν ἀνθρώπων."—δ΄ (σ. 29). "Ὅτι ὁ ἄνθρωπος οὐδὲν δύναται καθ' ἑαυτὸν ἄνευ τῆς θείας χάριτος." —ε΄ (σ. 42). "Περὶ τοῦ διαβόλου καὶ τῶν διαφόρων αὐτοῦ πειρασμῶν."—ϛ΄ (σ. 51). "Ὅτι ὁ Θεὸς φῶς ἐστὶ τῶν δικαίων." —ζ΄ (σ. 64). "Ἔτι περὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ."—η΄ (σ. 73). "Πόσον ὀφείλει ἄνθρωπος ἀγαπᾶν τὸν Θεόν."—θ΄ (σ. 77). "Ἔτι περὶ τῆς ζέσεως τῆς εἰς Θεὸν ἀγάπης."—ι΄ (σ. 80). "Ὅτι ὁ Θεὸς πάντα τῇ τῶν ἀνθρώπων δουλίᾳ ὑπέταξε."—ια΄ (σ. 86). "Ὅτι ἐκ τοῦ κατανοεῖν τὰ πρόσκαιρα ταῦτα ἀγαθά, ἐπίσταται καὶ τὸ μέγεθος τῶν οὐρανίων ἄθλων."—ιβ΄ (σ. 92). "Ὅτι ἡ θεία γλυκήτης πᾶσαν παροῦσαν πικρίαν ἀναιρεῖ."—ιγ΄ (σ. 101). "Ὅτι ὅλη ἡ ἡμετέρα ἐλπὶς καὶ ἐπιθυμία πρὸς τὸν Θεὸν ἀεὶ ὀφείλει εἶναι."—ιδ΄ (σ. 105). "Ὅτι ἐκ τοῦ Θεοῦ ἐστὶν ἡ σωτηρία."—ιε΄ (σ. 112). "Ὅτι ἡ ἀνθρωπίνη θέλησις ἄνευ

χάριτος ἀδρανής ἐστι πρὸς τὰ ἀγαθὰ ἔργα.'—ις' (σ. 128). "Περὶ τοῦ βαθέως προορισμοῦ καὶ τῆς προγνώσεως τοῦ Θεοῦ."—ιζ' (σ. 137). "Περὶ τῶν πρότερον μὲν ὄντων δικαίων, μετὰ ταῦτα δὲ ἀσεβῶν γινομένων καὶ τὸ ἀνάπαλιν."—ιη' (σ. 143). "Ὅτι ἡ πιστὴ ψυχὴ ἁγιαστήριον ἐστὶ τοῦ Θεοῦ."—ιθ' (σ. 147). "Ὅτι οὔτε διὰ τῶν ἔξωθεν αἰσθήσεων οὔτε διὰ τῶν ἔνδον δυνατὸν εὑρεῖν τὸν Θεόν."—κ' (σ. 174). "Περὶ τῆς γνώσεως τῆς τοῦ Θεοῦ ἀληθείας."—κα' (σ. 198). "Περὶ τοῦ θείου φωτός."—κβ' (σ. 207). "Περὶ τῆς ἐπιθυμίας τῆς ψυχῆς, καὶ τῆς εἰς Θεὸν αὐτῆς δίψης."—κγ' (σ. 224). "Περὶ τῆς αἰωνίου ζωῆς."

5459. 1339. Χαρτ. 16. XVII.

1. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ Καλυβίτου.

2. **Συμεὼν τοῦ νέου Θεολόγου** Διδαχή.

3. **Ἐφραὶμ τοῦ Σύρου.**

α'. Μακαρισμοί.—β'. Πρὸς ἀρχαρίους μοναχοὺς παραίνεσις.

4. "Τοῦ **ἁγίου Ἰσαὰκ** Περὶ τάξεως ἀρχαρίων."

5. **Ἀλβέρτου Μαρίνου** τοῦ Χίου Εἰς τὴν σταύρωσιν τοῦ Χριστοῦ.

6. Μαρτύριον τῆς ἁγίας Αἰκατερίνης.

7. Βίος καὶ πολιτεία τῆς ἁγίας Μαγδαληνῆς Μαρίας.

8. Λόγος εἰς τὸ "Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ."

9. Μαρτύριον τοῦ ἁγίου Χαραλάμπους.

10. Βίος καὶ πολιτεία τῆς ὁσίας Εὐπραξίας.

Ἅπαντα ἐν τῇ καθωμιλημένῃ.

Προτάσσεται Πίναξ τῶν περιεχομένων.

5460. 1340. Χαρτ. 16. XVI. (φ. 316).

1. "Περὶ τῆς σατανικῆς αἱρέσεως τῶν κακοδόξων Ἀρμενίων [κ]αὶ τῶν ἐνάγῶν νηστειῶν αὐτῶν· καὶ περὶ τῶν αἱρέσεων, ὧν ἔλαβον ἐκ τοῦ βασιλέως τῶν Περσῶν Χοσρόη, τοῦ λεγωμένου Βραμπάσου, καὶ τῶν ἑβδομάδων τῶν φιλασωμένων τοῦ ὅλου ἐνιαυτοῦ."

2. "**Γεναδίου** πατριάρχου **Κωνσταντίνουπόλεως** τοῦ **Σχολαρίου** [Ἀ]πολογία πρός τινα ἱερωμόναχον ἐν τῷ Συνέῳ ὄρει περί τινων ἀναγκαίων ζητημάτων."

3. "Ἔκθεσις **τοῦ αὐτοῦ** ἀναγκαιοτάτη περὶ τῶν τοῦ ἱεροῦ συμβόλου ῥήσεων, ὅθεν συνελέγησαν καὶ κατὰ τίνων αὗται συγκείμεναι εἰσίν."

4. "**Τοῦ αὐτοῦ** κῦρ **Συμεὼν τοῦ Θεσσαλονίκης** Περὶ τῶν ἑπτὰ μυστηρίων τῆς ἐκκλησίας."

5 (φ. 25 α). "Τὰ σφάλματα καὶ αἰτιάματα τῶν Κερκυραίων ἢ Κορυφιάτων, δι' ἃ αὐτοὺς ἀποστρεφόμεθα."

Ἐκδέδοται τύποις ὑπὸ ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ ἐν Κερκυραϊκοῖς ἀνεκδότοις. Ἐν Ἀθήναις. 1882. σ. 50 κ. ἑ.

6. "Ἐκ τῶν διατάξεων τῶν ἁγίων Ἀποστόλων."

Καὶ ἕτερα ἀποσπάσματα **συνόδων** καὶ **πατέρων**.

7. "Τοῦ παναγιωτάτου ἀρχιεπισκόπου **Θεσσαλονίκης** κῦρ **Συμεὼν** Ἀποκρίσεις πρὸς τὰς ἐρωτήσεις τοῦ ἱερωτάτου μητροπολίτου Πενταπόλεως κῦρ Γαβριήλ."

Κεφ. πε' καὶ ἕτερα νβ' ἄνευ ἰδίας ἀριθμήσεως.

8. "Κανόνες τῶν ἁγίων Ἀποστόλων."

9. "**Θεοφίλου** ἀρχιεπισκόπου **Ἀλεξανδρείας** ἐν Κυριακῇ προφώνησις ἑρμηνεύουσα τὴν αἰτίαν δι' ἣν ἐσθίομεν οἱ Χριστιανοὶ τυρὸν καὶ ᾠὸν τῇ Τετράδι καὶ τῇ Παρασκευῇ τῆς Τυρινῆς."

10. "Ἀπόδειξις **Κλήμεντος** περὶ τοῦ Πάσχα."

11. "**Βαλσαμὼν πατριάρχου** Θεουπόλεως τῆς μεγάλης **Ἀντιοχείας**· Διδασκαλία ἀναγινωσκομένη πρὸς τοὺς ἀναγομένους πρὸς ἱερωσύνην, καὶ πρὸς τοὺς μαρτυρίσαντας ἱερεῖς. Περὶ αὐτοῦ ἀξίωσις τοῦ παναγιωτάτου πατριάρχου. **Κῦρ Ματθαίου [τοῦ Βλαστάρεως]** κεφάλαιον."

Ἀρχ. Ὁ ἀναγνώστης οὗτος ζητεῖ, ἵνα ἀναχθῆναι πρὸς ἱερωσύνην.

12. Ἐκλογὴ κεφαλαίων συμπληρωτικῶν τῶν Κανόνων.

13. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Συμεὼν τοῦ νέου Θεολόγου** Περὶ διαφορᾶς προσοχῆς καὶ προσευχῆς."

14. Ἐκ τοῦ Γεροντικοῦ ἀπόσπασμα.

Ἕπεται "[**Συμεὼν**] Του Θεολόγου Σχόλεον."

15. "**Τοῦ αὐτοῦ [Συμεὼν] νέου Θεολόγου** Περὶ προσευχῆς στίχοι."

Καὶ ἄλλα Ἀποσπάσματα ἐκ τῶν λόγων **τοῦ αὐτοῦ.**

16. "Ἐκ τοῦ Γεροντικοῦ Περὶ πορνείας."

17. **Τοῦ ἁγίου Νείλου** Περὶ πορνείας.

18. "Ἐκ τοῦ **ἁγίου Βαρσανουφίου** Περὶ ἐλεημοσύνης."

19. "Ἐκ τῶν Ἀσκητικῶν **τοῦ μεγάλου Βασιλείου.**" Ἐρώτησις. Διαφορᾶ ὑπακοῆς καὶ ἐπιταγῆς."

Ἕπεται ἡ Ἀπόκρισις.

Ἐν τέλει φύλλον (Περγ.) ἰβηρικοῖς γράμμασι γεγραμμένον.

5461. 1341. Βομβ. XIII. 16. (φ. 118).

[**Μαξίμου τοῦ ὁμολογητοῦ** Λόγοι.]

Ἄρχεται ἀκέφαλος ἀπὸ τοῦ ς' [Περὶ φίλων καὶ φιλαδελφίας] καὶ τελευτᾷ ἐν τῷ ξθ' "Περὶ γυναικῶν." Ἀλλ' ἐν τῷ μεταξὺ λείπουσιν οἱ ὑπ' ἀρ. λζ'—νβ'.

Τὸ φ. 22 ἐκπεσὸν ἀνεπληρώθη ὑπὸ χαρτῴου μείναντος ἀγράφου, εἰς ὃ ἐνεγράφησαν ἀλφάβητοι πρὸς δοκιμὴν τοῦ κονδυλίου.

Ἡ τάξις τῶν κεφαλαίων διάφορος ἐν τῷ κώδικι ἢ παρὰ τῷ MIGNE XCI, 721 κ. ἑ., καθ' ἃ δείκνυσιν ὁ ἑξῆς πίναξ.

MIGNE	ΚΩΔΙΞ
α'—ε'	λείπουσιν
ς'	ς' (ἀκέφ.)
ζ'—ιβ'	ζ'—ιβ'
ιγ'	λείπει
ιδ'	ιγ' (ἀκέφ.)
ιε'—λε'	ιδ'—λδ'
λς'—λθ'	ξδ'—ξζ'
μ'—μβ'	λείπουσιν
μγ'—μδ'	λε'—λς'
με'—νη'	λείπουσιν
νθ'	νγ'
ξ'—ξα'	λείπουσιν
ξβ'—ξη'	νδ'—ξ'
ξθ'	ξβ'
ο'	ξα'
οα'	ξγ'

Εὕρηνται δὲ καὶ αἵδε αἱ διαφοραὶ περὶ τὴν ἐπιγραφὴν κεφαλαίων τινῶν. Κεφ. ι' (MIGNE ι') "Περὶ ψεύδους καὶ διαβολῆς."—Κεφ. ιδ' (MIGNE ιε') "Περὶ διδαχῆς καὶ λόγων καὶ ὁμιλίας."

—Κεφ. ιϛ' (MIGNE ιζ') "Περὶ παιδείας καὶ φιλοσοφίας καὶ παίδων ἀνατροφῆς."—Κεφ. κζ' (MIGNE κη') "Περὶ λύπης καὶ ἀλυπίας."—Κεφ. λ' (MIGNE λα') "Περὶ παρρησίας καὶ τοῦ ἐλέγχειν."—Κεφ. ξ' (MIGNE ξη') "Ὅτι δεῖ τιμᾶν ἀρετὴν καὶ κολάζειν κακίαν."—Κεφ. ξα' (MIGNE ο') "Περὶ τοῦ εὔκολος ἡ κακία καὶ δυσάρεστος ἡ ἀρετή."

Ἴδ. καὶ 4989 (869).

5462. 1342. Χαρτ. 16. XVII.

1. Λόγος ἀνεπίγραφος (ἀκέφ.).

Ἀρχ....τὸ παρακούειν τοῦ Θεοῦ τοῖς προστάγμασιν. Τέλ. ἵνα διὰ καλῶν ἔργων καὶ πολιτείας ἀγαθῆς κληρονομήσωμεν τὰ αἰώνια ἀγαθά· ἐκεῖ ἔσται τὸ φῶς καὶ ἡ χαρά, καὶ ἡ ζωὴ καὶ ἡ ἀπόλαυσις τῶν ἀγωνιζομένων ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

2. "Ἀρχὴ τῶν παρόντων κεφαλαίων· εἰσὶ δὲ τὸν ἀριθμὸν κεφάλαια ρλε'."

3. "Περὶ τοῦ πορνεύσαντος καὶ μὴ πράξαντος. **Γρηγορίου τοῦ θαυματουργοῦ.**"

4. **Γρηγορίου τοῦ Θεολόγου** "Εἰς Γρηγόριον τὸν ἀδελφὸν Βασιλείου, ἐπιστάντα μετὰ τὴν χειροτονίαν."

5. "**Τοῦ αὐτοῦ**...Εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης."

6. "**Ἐφραὶμ τοῦ Σύρου.**"

Ἀρχ. Ἐὰν ἴδῃς σαυτὸν ἐπίφορον.

7. "**Τοῦ μεγάλου Ἀντωνίου.**"

Ἀρχ. Ὁ λόγος ὁ νοῦν ἔχων.

8. "**Τοῦ μεγάλου Βασιλείου** Λόγος."

Ἀρχ. Οἷς ἐνυπάρχει ὁ θεῖος νόμος.

9. "**Βασιλείου** Εἰς τὸν παράδ."

10. "Ἐπιστολὴ **τοῦ ἀββᾶ Ἡσαΐου.**"

11. "**Τοῦ Χρυσοστόμου** Ἐκ τῆς πβ' ὁμιλίας τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου" (κολ.).

Ἕπονται α'. "Ἐκ τῆς πη' ὁμιλίας."—β'. "Ἐκ τῆς πθ' ὁμιλίας."

12. Τροπάρια.

13. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λόγος Περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι καὶ περὶ προσευχῆς.

14. "**Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου**· τίνες αἱ μορφωτικαὶ τῶν ἀγγελικῶν δυνάμεων εἰκόνες· τί το πυρῶδες, τί τὸ ανθρωποειδές· τίνες ὀφθαλμοί, τίνες αἱ ῥίνες· τίνα τὰ ὦτα· τίνα τὰ στόματα, καὶ τὰ λοιπὰ τοῦ κεφαλαίου. Κεφάλαιον ιε'."

15. "Περὶ ὑψωμένης τῆς Παναγίας ἐὰν ἀπολεσθῇ τί χρὴ ποιεῖν. σιβ'."

16. "Τοῦ ἁγίου **Ἀναστασίου** πατριάρχου **Ἀντιοχείας** Λόγος περὶ πορνείας καὶ ὑγρότητος ἀνθρώπου."

17. "Περὶ τῆς ἁγίας προςκομιδῆς καὶ τῶν προςφορῶν."

18. "Διάταξις τῆς ἀκολουθίας τῶν ἀγραμμάτων μοναχῶν."

19. "Περὶ ποῖα ἁμαρτήματα κωλύουσι τὴν ἱερωσύνην."

20. "Περὶ τῆς ἡλικίας τῶν χειροτονουμένων."

21. "Περὶ πάσης γοητείας καὶ μαντείας καὶ ἀποδεμάτων καὶ ἄλλων πολλῶν Ἑλληνικῶν ἐθῶν."

22. "Περὶ κουρὰς καὶ δοκιμασίας μοναχῶν καὶ μοναστεριῶν."

23. Τινὰ ἐκ τοῦ Νομοκάνονος.

24. "Ἐκ τῶν Ἀσκητικῶν **τοῦ μεγάλου Βασιλείου.**"

25. "**Γερμανοῦ** πατριάρχου **Κωνσταντινουπόλεως**" Κανόνες.

26. "Περὶ τὸ πῶς δεῖ βαπτίζειν."

27. "Περὶ τοῦ ποῖοι ἀναβαπτίζονται."

28. "Περὶ τῆς παραμονῆς τῶν Φώτων καὶ τῶν Χριστουγέννων."

29. "Περὶ τοῦ πότε καὶ ποῦ καταλύεται ἡ νηστεία τῆς δης καὶ τῆς Παρασκευῆς."

30. "**Ἀναστασίου τοῦ Σιναΐτου**" Λόγος.

31. "**Τοῦ αὐτοῦ** Περὶ ἀζύμων."

32. "Κεφάλαιον νγ'. Ὅτι ὁ Σωτὴρ καὶ δι' ἑαυτοῦ τὸ σχῆμα τὸ ἅγιον ἔδιξεν."

33. "Κεφάλαιον νε'. Ὅτι τὸ Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον."

34. "Ἐρώτησις κβ'. Τί σημένη τὸ εἰλητον καὶ ἡ κουρὰ τοῦ ἀναγνώστου καὶ ἱερέως."

35. "Κεφάλαιον ρη'. Περὶ τῶν ἱερῶν ἀντιμινσίων **Συμεὼν** ἀρχιεπισκόπου **Θεσσαλονίκης.**"

36. Ἀποσπάσματα **πατέρων.**

37. "Ἐρώτησις καὶ ἀπόκρισις θείων **πατερων** περὶ πίστεως καὶ κατὰ Λατίνων."

38. "**Τοῦ Χρυσοστόμου** Ἐκ τοῦ λόγου τῆς Κοιμήσεως αὐτοῦ."

39. Κανόνες συνοδικοί.

40. [**Μιχαὴλ τοῦ Γλυκᾶ**] "Τῷ τιμιωτάτῳ μοναχῷ κὺρ Χαρίτωνη Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι ἱερεὺς ὁ Χριστὸς παρὰ Ἰουδαίοις κεχειροτόνηται."

41. "Ἐκ τῶν κατὰ τον Ἀδαμ καὶ τὸν Ἰώβ."

5463. 1343. Χαρτ. 16. XVII.

1. "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Ἐφραὶμ τοῦ Σύρου** Λόγος ἀσκητικός."

Ἀρχ. Δεῦτε ἀγαπητοὶ δεῦτε πατέρες καὶ ἀδελφοὶ τὸ ἐκλεκτὸν πήμνιὸν τοῦ πατρός.

2. "Μαρτύριον τῆς ἁγίας τοῦ Χριστοῦ μεγαλομάρτυρος καὶ πανσόφω ἁγίας Μαρίνης."

3. "Μαρτύριον τῆς ἁγίας τοῦ Χριστοῦ μεγαλομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας."

4. "Περὶ τοῦ ὄφεως καὶ περὶ τοῦ ἀνθρώπου τὴν ζωὴν πῶς πορεύεται εἰς τὸν κομῶν ἐτοῦτῶν."

Ἀρχ. Ὀμηάζη ἡ ζωὴ τοῦ ἀνθρώπου εἰς τὸν κόσμον ἐτοῦτων.

5. "**Θεοφάνους μοναχοῦ** τοῦ σοφωτάτου Λόγος πεζῇ φράσει εἰς τὰ δώδεκα ἄρθρα τῆς πίστεως."

Ἀρχ. Πρῶτον πρέπει τῷ ἀληθινῷ Χριστιανῷ πιστεύειν καὶ ὁμολογεῖν τὰ δώδεκα ἄρθρα τῆς πίστεως.

6. "Ἰδοὺ καὶ τὰ τῶν γάμων γράμματα τὰ ὁποῖα

ἐσχεδίασεν ὁ σοφώτατος καὶ λογιώτατος **μέγας χαρτοφύλαξ** *τῆς αγιῶτάτης τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ὁ ἐν ιεροδιακόνοις κυρ* Μανοὴλ ὁ Ξανθινός."

7. "Μαρτύριον τοῦ ἁγίου Μάμαντος."

8. "Θαῦμα τοῦ ἐν αγίοις πατρὸς ἡμῶν *Νηκολάου ὁπου επίησεν εἰς τῶν κερῶν τοῦ εὐσεβεστάτου βασιλέως Κώνσταντίνου."*

Τὰ ὑπ' ἀρ. 2, 4, 7 *καὶ* 8 *ἐν τῇ καθωμιλημένῃ.*

5464. 1344. *Χαρτ.* 8. XVIII.
"Ἐκκλογὴ τοῦ Ψαλτηρίου παντός."

5465. 1345. *Χαρτ.* 8. XVII.
1. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία (ἀκέφ.).
Ἐν τέλει· Θεοῦ τὸ δῶρον καὶ Ἰωαννικίου πόνος.
2. **Βασιλείου τοῦ μεγάλου** Λειτουργία (κολ.).

5466. 1346. *Χαρτ.* 8 *μικρ.* XVI.
1. "Διάταξις τῆς θείας καὶ ἱερᾶς προσκομιδίς."
2. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.
3. **Βασιλείου τοῦ μεγάλου** Λειτουργία.
4. Λειτουργία τῶν προηγιασμένων.

5467. 1347. *Χαρτ.* 8 *μικρ.* XVIII.
1. Εὐχαί.
2. "Τάξις γενομένη ἐπὶ καθιερώσει ναοῦ."

5468. 1348. *Χαρτ.* 16. XVI.
1. Ἀνθολόγιον ἤτοι μηναῖον τῶν ἐπισημοτέρων ἑορτῶν τοῦ ἔτους.
2. Ἀκολουθίαι ἁγίων καὶ ὁσίων.
3. Κανόνες παρακλητικοί.
4. Ὀκτώηχος.
5. Ἐξαποστειλάρια τῆς Ὀκτώηχου.
6. Τὰ ια' ἑωθινὰ εὐαγγέλια.
7. Κανόνες κατ' ἦχον.
8. Ἀκολουθία τῆς ἑβδομάδος.
9. Τριῴδιον.
10. Πεντηκοστάριον.

5469. 1349. *Χαρτ.* 16. XVII.
Ἀκολουθίαι, Κανόνες κτλ.
Ὅμοιον τῷ ὑπ' ἀρ. 5468 (1348).

5470. 1350. *Χαρτ.* 16. XVIII.
1. Κανών (ἀκέφαλος).
2. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.
3. Εὐχαί.

5471. 1351. *Χαρτ.* 16. XVII.
1. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία (ἀκέφ.).
2. **Βασιλείου τοῦ μεγάλου** Λειτουργία.
3. Λειτουργία τῶν προηγιασμένων.
4. Εὐχὴ λεγομένη ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν.
5. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

5472. 1352. *Χαρτ.* 16. XVII.
1. Εὐχαὶ τοῦ λυχνικοῦ, τοῦ ὄρθρου καὶ τῆς λειτουργίας.
2. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.
3. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.
4. Κανὼν παρακλητικὸς εἰς τὴν Θεοτόκον.
5. Εὐχὴ ἐξομολογητική.
6. **Θηκαρᾶ** Εὐχαί.

5473. 1353. *Χαρτ.* 4. XVIII. (*σ.* 322).
[**Νικολάου Μαυροκορδάτου**] "Θέατρον πολιτικόν."
Ἴδ. καὶ 4362 (242).

*5474. 1354. *Χαρτ.* 8. XVIII.
Ἀδήλου Γεωμετρία ἀνεπίγραφος.
Ἀρχ. "Μέρος πρῶτον. Περὶ συμπτωμάτων καὶ μέτρων **τῶν** *ἐπιπέδων σχημάτων. Κεφάλαιον α^{ον}. Περὶ ὁρισμῶν ἢ γεωμετρικῶν ἀρχῶν. Ὁρισμὸς πρῶτος." Γεωμετρία ἐστὶν ἐπιστήμη, περὶ τὴν γνῶσιν τῶν μεγεθῶν, ἤγουν στερεῶν ἐπιφανειῶν, καὶ γραμμῶν ἐνασχολουμένη.*
Κοσμεῖται ὑπὸ γεωμετρικῶν σχημάτων.

5475. 1355. *Χαρτ.* 8. XVIII.
Ἀδήλου "Εἰς τὰ ὀκτὼ **τοῦ Ἀριστοτέλους** βιβλία *περὶ φυσικῆς ἀκροάσεως Διαλέξεις ζητήματά τε καὶ θεωρήματα."*
Ἀρχ. "Προοίμιον." Συλλήβδην περὶ πάσης τῆς περιπατητικῆς φιλοσοφίας εἰπὼν προαιρούμενος.

*5476. 1356. *Χαρτ.* 8. XVIII.
1. "Περὶ τῶν τοῦ νοὸς ἐνεργειῶν."
Ἀρχ. Τρεῖς εἰσὶν αἱ τοῦ νοὸς ἐνέργειαι. Προτάσσεται "Προοίμιον." Ἀρχ. Ἐπειδὴ ὁ ἄνθρωπος παρὰ τοῦ τῶν ὅλων Θεοῦ.
2. **Ἀδήλου** "Εἰς ἅπασαν τὴν λογικὴν πραγματείαν [**τοῦ Ἀριστοτέλους**] διάλεξις."
Ἐν ἀρχῇ Πίναξ τῆς Λογικῆς καὶ τῶν περὶ αὐτῆς διαλέξεων.
3. **Ἀδήλου** "Εἰς τὰ **τοῦ Ἀριστοτέλους** βιβλία *περὶ οὐρανοῦ."*
Ἀρχ. "Διάλεξις α^{η}." Περί τινων ὧδε προλεγομένων, ζήτημα α^{ον}. Τίς ὁ σκοπὸς ταύτης τῆς πραγματείας;" Περὶ τοῦ σκοποῦ ταυτησὶ τῆς πραγματείας διαφωνία πολλὴ παρὰ τοῖς ἐξηγηταῖς φαίνεται.
4. **Ἀδήλου** "Διαλέξεις καὶ ζητήματα *εἰς τὰ* **τοῦ Ἀριστοτέλους** *βιβλία περὶ γενέσεως καὶ φθορᾶς, καὶ περὶ στοιχείων."*
Ἀρχ. Ἀπορία τοῖς ἐξηγηταῖς οὐ μικρὰ περὶ τοῦ σκοποῦ ταυτησὶ τῆς πραγματείας καθέστηκεν.
Πρὸ τοῦ ὑπ' ἀρ. 3 *Πίναξ τῶν τε περὶ οὐρανοῦ καὶ περὶ γενέσεως καὶ φθορᾶς πραγματειῶν διαλέξεων.*
Ἐν τέλει δὲ τοῦ ὑπ' ἀρ. 3 *σχήματα τῶν διαφόρων ἡλιακῶν συστημάτων.*
Ἴδ. καὶ 5478 (1358).

5477. 1357. Χαρτ. 8. XVIII.

"Ἐξήγησις καὶ νοῦς πάντων τῶν περιεχομένων κατὰ τάξιν ἐν τῇ Λογικῇ πραγματείᾳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ."

5478. 1358. Χαρτ. 8. XVIII.

"Εἰς τὰ τοῦ Ἀριστοτέλους βιβλία Περὶ οὐρανοῦ καὶ γενέσεως καὶ φθορᾶς διαλέξεις καὶ ζητήματα."

Προτάσσεται Πίναξ τῶν περιεχομένων. Αἱ Διαλέξεις ὅμοιαι ταῖς ἐν τῷ ὑπ' ἀρ. 5476 (1356), 3 καὶ 4.

Ἐν τέλει τῆς Περὶ οὐρανοῦ πραγματείας· ͵αψκβ' Νοεμβρίου α^η (=1722) καὶ Ἀβιμέλεχ Ἰβηρίτου ἐκ Ζακύνθου.

5479. 1359. Χαρτ. 8. XVIII.

1. "Γνῶμαι μονόστιχοι κατὰ στοιχεῖον ἐκ διαφόρων ποιητῶν."
α'. Εἰς ἀγαθοὺς ἄνδρας.—β'. Εἰς ἀλήθειαν κτλ.
2. "Κέβητος Θηβαίου Πίναξ."
3. "Αἰσώπου βίος τοῦ μυθοποιοῦ Μαξίμῳ τῷ Πλανούδῃ συγγραφείς."
4. [Ἀγαπητοῦ διακόνου] "Ἔκθεσις κεφαλαίων παραινετικῶν."
5. Κάτωνος Ῥωμαίου Γνῶμαι κατὰ τὴν μετάφρασιν Μαξίμου τοῦ Πλανούδη.
6. Σημειώσεις θεολογικαί.
7. Ὀνόματα βοτανῶν.
8. Ἰωάννου Δαμασκηνοῦ Εἰς τὴν Μεταμόρφωσιν.
9. Ἐκ τοῦ Λόγου Ἀναστασίου τοῦ Σιναΐτου Εἰς τὴν Μεταμόρφωσιν.
10. Στίχοι ἰαμβικοὶ ἀνεπίγραφοι.
Ἄρχ. (ἀκέφ.)·...Ἡ Σαμαρεῖτις οὐχ ὕδωρ εὐδοκία.
11. "Γρηγορίου τοῦ Θεολόγου"
α'. "Γνωμικὰ δίστιχα."—β'. "Περὶ τῶν τοῦ βίου ὁδῶν."—γ'. "Εἰς τὸν μέγαν Βασίλειον ἐπικήδεια" (ιβ').—δ'. "Τετράστιχα." (κολ.).

Ἅπαντα πλὴν τοῦ ὑπ' ἀρ. 5 μετὰ διαστίχου ἐξηγήσεως. Τὸ ὑπ' ἀρ. 5 ἀτελές.

5480. 1360. Χαρτ. 8. XVIII.

Θεοφίλου τοῦ Κορυδαλέως Ῥητορική.

Προτάσσεται "Προοίμιον εἰς τὴν Ῥητορικὴν τέχνην Κορυδαλέως." Ἄρχ. Τὴν ἔμφυτον ἐπιθυμίαν καὶ ἔφεσιν.

5481. 1361. Χαρτ. 8. XVIII.

1. "Εὐριπίδου Ἑκάβη." Ἀτελής.
2. Λόγος ἀνεπίγραφος.
Ἄρχ. Ἄρα, εἰ μή τις ἐκ πόλεως ἥκοι μεγάλης τε καὶ πλουτούσης, καὶ κομίζοι λόγους γαύρους τε καὶ χλιδῶντας.
3. Γρηγορίου τοῦ Θεολόγου Ἀπολογητικός.
4. "Ἐξήγησις τῶν λόγων τοῦ Δημοσθένους." Τῶν Ὀλυνθιακῶν.
5. Θέματα ἐν τῇ ἀρχαίᾳ καὶ τῇ καθωμιλημένῃ.
Κατὰ δύο σελίδας, ὧν ἡ μὲν πρώτη περιέχει τὸ ἐν τῇ καθωμιλημένῃ κείμενον, ἡ δ' ἑτέρα τὸ ἀρχαῖον.

Τὰ ὑπ' ἀρ. 1—3 μετὰ παρασελιδίου μεταφράσεως εἰς τὴν καθωμιλημένην, τὸ δὲ ὑπ' ἀρ. 4 ἐν τῇ καθωμιλημένῃ

5482. 1362. Χαρτ. 8. XVIII.

1. Ἐξηγήσεις Κανόνων.
2. Ὁμήρου Ἰλιάδος Α ἐξήγησις.

5483. 1363. Χαρτ. 8. XVIII.

Συνεσίου

α'. "Ἐπιστολαί."—β'. "Εἰς τὸν αὐτοκράτορα Ἀρκάδιον περὶ βασιλείας."

Μετὰ διαστίχου ἐξηγήσεως.

Ἐν τέλει· Γράφο ἐγῷ ὁ Παναγιὄτις τοῦ Χατζῆ Θεωδόρου κατὰ τῷ ἓν ἔτι μινῇ 17^ω00^ω, Μεταγετνιῶνος ι^η β^α, ἡμέρα ε' μηνὶ Μάρτίου θ^η ἡμέρα Πέμπτι.

5484. 1364. Χαρτ. 8. XVIII.

Γραμματικὴ ἀνεπίγραφος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν.

Ἄρχ. Π. Τί ἐστὶ Γράμμα; Α. Γράμμα ἐστὶ τὸ τῆς φωνῆς ἐλάχιστον καὶ ἀδιαίρετον μέρος.

5485. 1365. Χαρτ. 8. XVIII.

1. Σοφοκλέους Αἴας. Ἀτελής.
2. Ὁμήρου Ἰλιάδος Α, Β. Ἐλλιπῆ καὶ ἀτελῆ.
Ἐν ἀρχῇ ἄνωθεν τοῦ τίτλου· Κατὰ τὸ ͵αψκϛ^ον ἐν μηνὶ Φευρουαρίου κβ' (=1726).
3. Λόγοι εἰς ῥητὰ τῆς Γραφῆς, Ἐπικήδειοι καὶ Διδαχαί.
Ἐν τούτοις καὶ Ἐγκώμιον εἰς τὸν ἅγιον Δημήτριον.

Τὰ ὑπ' ἀρ. 1 καὶ 2 μετὰ διαστίχου ἐξηγήσεως ἀτελοῦς, ὅλως λειπούσης ἐν τῷ Β τῆς Ἰλιάδος.

5486. 1366. Χαρτ. 8. XVII.

Ἀκολουθίαι.

5487. 1367. Χαρτ. 8. XVIII.

1. "Θέσεις γραμματικαὶ πληρέσταται μεθόδῳ διαλεκτικῇ ὑποστρωθεῖσαι καὶ εἰς διάλεξιν προτεθεῖσαι ἐκ τῆς τέχνης θεωρητικῆς τε καὶ πρακτικῆς Ἱλαρίωνος Κιγάλα τοῦ Κυπρίου ἱεροδιδασκάλου καὶ ἱεροκήρυκος."
2. "Θεοφίλου τοῦ Κορυδαλέως Διαίρεσις τῆς ποιητικῆς κατὰ τὰ εἴδη αὐτῆς καὶ τίσιν ἕκαστον τούτων διαφέρει."
3. "Γρηγορίου τοῦ Θεολόγου Ἀλφάβητος παραινετική."
Ἄρχ. Ἄνω πτέρωσον πρὸς Θεόν σου τὰς φρένας.
4. "Ποίημα λεγόμενον Λιβανίου τοῦ σοφιστοῦ· ἤγουν ὁ προοιμιακὸς διὰ στίχων."
Ἄρχ.
Εὐλόγει μεγαλύνουσα, ψυχή μου, τὸν δεσπότην.
5. Λογικὴ ἀνεπίγραφος.
Ἄρχ. Ἐπειδὴ ἐπὶ πάσης πραγματείας προεγνωσμένου τοῦ ζητούμενου κατὰ τὴν ὀνοματόδη φωνήν, τέτταρα ταῦτα καὶ μόνα ζητεῖται.
6. "Ὅροι κατὰ στοιχεῖον."
7. "Μαξίμου μοναχοῦ Ὅροι διάφοροι."
8. "Περὶ διαφόρων ὅρων ἑτέρων."

5488. 1368. Χαρτ. 8. XVIII.

1. **Λουκιανοῦ** Ἐνυπνίου ἐξηγήσεις. Ἀτελεῖς.

2. "Προφητεῖαι τοῦ ἁγίου **Μαλαχίου**, *ἀπὸ τοὺς 1701 ἕως εἰς τοὺς 1722, ἐξηγηθεῖσαι ἐκ τῆς τῶν Λατίνων φωνῆς εἰς τὴν ἡμετέραν διάλεκτον.*"

3. "Τοῦ σοφωτάτου **βασιλέως Λέοντος** Χρησμὸς *περὶ ἀναστάσεως τῆς Κωνσταντινουπόλεως.*"

4. "Γραμματικὴ συντεθεῖσα παρὰ τοῦ σοφωτάτου **Θεοδώρου** *τοὐπίκλησιν ἔχοντος* **Πτωχοπροδρόμου.**"

5489. 1369. Χαρτ. 8. XVIII.

1. "Εἰσαγωγὴ λογική, ἐν ἐπιτομῆς εἴδει, *εἰς ἅπασαν τὴν τοῦ* **Ἀριστοτέλους** *διαλεκτικὴν πραγματείαν, ἐκδοθεῖσα παρὰ* **Γερασίμου Βλάχου** *τοῦ Κρητός, γραφεῖσα δὲ παρὰ τοῦ ἐξ Ἰωαννίνων Στεφάνου Τζιγαρᾶ.*"

Ἐλλιπής.

2. "Ἐν τῇ τοῦ **Πορφυρίου** εἰσαγωγῇ ἐξηγήσει Προοίμιον."

Ἀρχ. Ἡμῶν φιλοσπουδαίως τὴν διατριβὴν εἰς τὴν τῶν παρα Ἀριστοτέλει δέκα κατηγοριῶν διδασκαλίαν ποιήσασθαι μελλόντων.

3. "Ζητήματα προοιμιακὰ εἰς τὴν τοῦ φιλοσόφου [**Ἀριστοτέλους**] *Λογικὴν πραγματεῖαν.*"

Ἀρχ. "Προοίμιον." Ὡς ὁρῶμέν τινας οὐ ταπεινοῖς τισι καὶ ἀδυνάτοις τῶν ὅπλων.

5490. 1370. Χαρτ. 8. XVIII.

"Ἀμφοτέρα λογική, ἐλλάσσων καὶ μείζων, *περιπατιτικὴ καὶ νεοτερική, διὰ μόχθου* **Βικεντίου τοῦ Δαμοδοῦ**, *ἐν φιλοσοφίᾳ, ἱερᾷ θεολογίᾳ, καὶ ἀμφοτεροις τοῖς νόμοις δαφνοφόρου. Ἐν ἔτει σωτηρίῳ ‚αψλʹ.*"

5491. 1371. Χαρτ. 8. XVIII.

1. Περὶ τῶν ζʹ συνόδων. *Ἐρωτήσεις καὶ ἀποκρίσεις.*

2. **Κάτωνος** τοῦ Ῥωμαίου Γνῶμαι *κατὰ τὴν μετάφρασιν* **Μαξίμου τοῦ Πλανούδη.**

3. Κανόνες.

4. Θέματα ἀπὸ τῆς καθωμιλημένης εἰς τὴν ἀρχαίαν.

5. **Βασιλείου τοῦ μεγάλου**

αʹ. "Κατὰ τῶν ὀργιζομένων."—βʹ. "Εἰς τὸ Καθελῶ μου τὰς ἀποθήκας."—γʹ. Εἰς τὸ Πρόσεχε σεαυτῷ.

6. "**Ἰσοκράτους** Πρὸς Δημόνικον παραίνεσις."

7. **Δημοσθένους** Ὀλυνθιακοῦ αʹ ἐξηγήσεις.

8. Τεχνολογικαὶ ἐρωτήσεις καὶ ἀποκρίσεις.

Τὰ ὑπ' ἀρ. 3, 5 καὶ 6 μετὰ διαστίχου ἐξηγήσεως.

5492. 1372. Χαρτ. 8. XVIII.

"Ἐπιστολαί τινες λογίων ἀνδρῶν."

Τύποι ἐπιστολῶν.

5493. 1373. Χαρτ. 8. XVIII.

"Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ πασῶν *τῶν ἐπιστημῶν διδασκάλου καὶ μεγάλου ῥήτορος τῆς μεγάλης ἐκκλησίας ἰατροῦ τε ἀρίστου* **Ἀλεξάνδρου [Μαυροκορδάτου]** *τοῦ ἐκ Κωνσταντινουπόλεως. Περὶ γραμματικῆς συντάξεως κατὰ τὰ ὀκτὼ μέρη τοῦ λόγου.*"

5494. 1374. Χαρτ. 16. XIX.

1. "Ἠθικαὶ φαντασίαι διὰ στίχων ὁμοιοκαταλίκτων, *περὶ τῶν ἀπ' αἰῶνος τριῶν ἐφευρημάτων τοῦ διαβόλου πρὸς ὄλεθρον τῆς ἐκκλησίας τῶν Χριστιανῶν, ἢ ἀμαθίας στηλίτευσις καὶ θλιβερὰ παρεπόμενα.*"

Ἔπονται ἄλλα τινὰ Ποιημάτια.

2. "Περιγραφὴ προμυθείας τοῦ μακαρίτου *φιλοπάτριδος καὶ φιλοχρήστου ἄρχοντος* **Μπάνου Δ. Γκίκα** *διὰ προβλήματος ἐπὶ ἔτους 1806 ἐν Βουκουρεστίῳ.*"

3. Ποιημάτια.

5495. 1375. Χαρτ. 16. XVIII.

1. "Ἀποφθέγματα φιλοσόφων ἐκ **Διογένους Λαερτίου** συλλεχθέντα."

2. **Γρηγορίου τοῦ Θεολόγου**

αʹ. Ἀλφάβητος παραινετικὴ πρὸς Φιλόπονον.

Ἀρχ.

Ἄνω πτέρωσον πρὸς Θεόν σου τὰς φρένας.

—βʹ. "Γνωμικὰ τοῦ Γρηγορίου δίστιχα."—γʹ. Γνωμικὰ μονόστιχα.—δʹ. Γνωμικὰ τετράστιχα.—εʹ. Εἰς τὸν μέγαν Βασίλειον ἐπικήδεια.

3. "**Ἰωάννου Γεωμέτρου** Ἐκ τῶν τοῦ Γεροντικοῦ *εἰς ποιητικὴν τάξιν ἧς ἐπιγραφὴ Παράδεισος.*"

Ἐπιγράμματα ἐν ἡρωελεγείοις.

4. "Χρυσᾶ ἔπη τοῦ **Πυθαγόρου.**"

5. [**Ἀγαπητοῦ διακόνου**] Κεφάλαια παραινετικά.

Ἀρχ. Τιμῆς ἁπάσης.

6. "Τοῦ ἐν **αὐτοῦ** πατρὸς [**Γρηγορίου τοῦ Θεολόγου**] *Ποίημα ἐνόδια καλούμενον.*"

Ἀρχ. Χριστὲ ἄναξ ὃς πάντα πέλεις.

7. Ἑρμηνεία Κανόνων (ἀκέφ. κολ.).

Τὰ ὑπ' ἀρ. 2, 4 καὶ 5 μετὰ διαστίχου ἐξηγήσεως, τὸ δὲ ὑπ' ἀρ. 3 μεθ' ἑρμηνείας ἑπομένης εἰς ἕκαστον ἐπίγραμμα τοῦ κειμένου.

5496. 1376. Χαρτ. 16. XVII.

Νομοκάνων.

αʹ. Πίναξ.—βʹ. Νουθεσίαι εἰς πνευματικόν.—γʹ. "Συνοδικοὶ ἀποστολικοὶ καὶ τοῦ **μεγάλου Βασιλείου** *Κανόνες."*

Ἔπονται—Αʹ. Εὐχὴ συγχωρητική.—Βʹ. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.—Γʹ. Τύποι ἐπιστολῶν καὶ ἄλλων ἐγγράφων.—Δʹ. Ἑρμηνεία τοῦ Πασχαλίου.—Εʹ. Εὐχὴ εἰς εὐλόγησιν οἴνου.

5497. 1377. Χαρτ. 16. XV.

"Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ἐρωτημάτων, *διορθωθέντων παρὰ τοῦ σοφωτάτου* **Μανουὴλ τοῦ Μοσχοπούλου.**" *(κολ.).*

5498. 1378. Χαρτ. 16. XV.

1. Ἀποσπάσματα **πατέρων** περὶ ψυχῆς.

2. **Ἰσιδώρου [τοῦ Πηλουσιώτου]** Ἐπιστολὴ *περὶ Ἀρείου πάγου.*

3. Θεοτοκία.

4. Ἀποφθέγματα **ἀρχαίων συγγραφέων.**

5. **Αἰσώπου** Μῦθοι.

6. [**Ἀγαπητοῦ διακόνου**] Κεφάλαια παραινετικά.

7. [**Γρηγορίου τοῦ Θεολόγου ;**] Γνωμικά.

8. Περὶ τῶν δέκα ὀκτὼ παθῶν τῶν λέξεων (πρόσθεσις, ἀφαίρεσις, ἀναδίπλωσις κτλ.) καὶ περὶ σχημάτων.
Τὰ ὑπ' ἀρ. 3—7 μετὰ διαστίχου ἐξηγήσεως καὶ τεχνολογίας τῶν λέξεων, ἑπομένης εἰς ἕκαστον τῶν κειμένων.

5499. 1379. Περγ. IX.—XIV.
Φάκελος

περιέχων διάφορα φύλλα καὶ σπαράγματα κωδίκων ὕλης ἐκκλησιαστικῆς.

5500. 1380. Χαρτ. XVIII. XIX.
Φάκελος

περιέχων διάφορα φύλλα καὶ σπαράγματα κωδίκων ἐξηγήσεων.

5501. 1381. Χαρτ. XVII.—XIX.
Φάκελος

περιέχων διάφορα φύλλα καὶ σπαράγματα κωδίκων ὕλης ἐκκλησιαστικῆς.

5502. 1382. Χαρτ. XIV.—XIX.
Φάκελος

περιέχων διάφορα φύλλα καὶ σπαράγματα κωδίκων ὕλης ἐκκλησιαστικῆς.

5503. 1383. Χαρτ. XIV.—XVIII.
Φάκελος

περιέχων διάφορα φύλλα καὶ σπαράγματα κωδίκων ὕλης σχολειακῆς καὶ ἄλλων μὴ περιεχόντων ἐκκλησιαστικὰ ἀποκόμματα.

Ἐν τούτοις καὶ τὰ ἐκ τοῦ ὑπ' ἀρ. 5323 (1203) κώδικος ὀκτὼ φύλλα τοῦ **Συνεσίου.**

***5504. 1384.** Περγ. 4. XIV. (φ. 266).
Ψαλτήριον μετὰ τῶν Ὠδῶν καὶ Προσευχῶν.

Ἐν φ. 1 α ἐντὸς κομψοῦ ἐπιτίτλου κυανοχρύσου·

Δαυΐδου πινυτοῦ μελέων βεβοημένος ὕμνος
εὐκελάδου κιθάρης βασιλήϊος ὕμνος ἐτύχθη.
Ψαλμὸς Α'.

Οἱ δύο στίχοι γεγραμμένοι καταλογάδην διὰ χρυσῶν γραμμάτων τοῦ μεγαλογραμμάτου ῥυθμοῦ.

Ἐν τῷ αὐτῷ δὲ φύλλῳ ἔξωθεν τοῦ ἐπιτίτλου γέγραπται ἐπ' ἴσης διὰ χρυσῶν γραμμάτων τοῦ μεγαλογραμμάτου ῥυθμοῦ ὁ στίχος ὅδε·

Θευπάτορος πινυτοῦ μελιηδέα ᾄσματα **Δαυΐδ.**

Ἐν φ. 126 α πρὸ τοῦ ος' Ψαλμοῦ ὑπὸ κυανόχρυσον ἐπίτιτλον κόσμημα·

θεία φρόνησις
Δαυΐδου μελέων μὲν ἐπαύετο θεσπεσία φρὴν
ἀνέστη ἐβόησε Θεοῦ ὢν
ἄσαφος δ' ἀνόρουσε καὶ ἴαχε πνεύματι θείῳ.

Οἱ μὲν στίχοι οὗτοι εἰσι γεγραμμένοι διὰ γραμμάτων χρυσῶν τοῦ μεγαλογραμμάτου ῥυθμοῦ, ἡ δὲ διάστιχος ἐξήγησις διὰ χρυσῶν γραμμάτων τοῦ μικρογραμμάτου ῥυθμοῦ.

Ἐν φ. 264 β· Θεοῦ τὸ δῶρον καὶ Χαρίτωνος πόνος.
Ἐν δὲ φ. 265 β·

+Ἄννα βασιλὶς ἡ Παλαιολογίνα
Δαυῒδ θεόπνουν πυκτίον βασιλέως
ἔδρασε λαμπρὸν εἰς Θεοῦ μολπὴν λόγου
αὐτῆς τε σῶστρον καὶ γόνου βασιλέως.

+Ἐτῶν χιλίων ἑξάκις περιόδῳ
ὀκτακοσίων σύν γε πεντηκοντάδι
καὶ τετράδι τέτευχε Δαυῒδ πυκτίδα
Ἄννα βασιλὶς ἀγλαὴν λαμπρὰν λίαν.

Τῶν στίχων τούτων οἱ μὲν δύο πρῶτοί εἰσι γεγραμμένοι διὰ γραμμάτων χρυσῶν, ἡ δ' ἄνωθεν αὐτῶν γραμμὴ ἐστιν ἐρυθρὰ ὡς καὶ οἱ λοιποὶ τῶν στίχων, ἐκπεσούσης τῆς χρυσώσεως ἢ μᾶλλον μὴ συντελεσθείσης. Μετὰ δὲ τοὺς στίχους χεὶρ νεωτέρα προσέθηκε τάδε· Ἤτοι τῷ ,ϛωνδῳ ἀπὸ κτίσεως κόσμου, ἀπὸ δὲ τῆς Χριστοῦ γεννήσεως ατμϛῳ (=1346).

Ἡ πρώτη σελὶς γέγραπται ὅλη διὰ γραμμάτων χρυσῶν, καὶ δι' ὅλου δὲ τοῦ κώδικος τὸ πρῶτον ἑκάστου στίχου γράμμα ἐστὶ χρυσοῦν ὡς καὶ αἱ ἐπιγραφαί. Τὰ δὲ σημειώματα τοῦ ἀριθμοῦ τῶν καθισμάτων "κάθ. α'." κ. ἑ. περιλαμβάνονται ἐντὸς κύκλου κυανοχρύσου. Τοιοῦτοι δὲ κύκλοι εὕρηνται ἐν τῷ κώδικι εἴκοσι. Κοσμεῖται δὲ ὁ κῶδιξ καὶ ὑπὸ ἑκατὸν ἑξήκοντα καὶ τεσσάρων περικόμψων κυανοχρύσων γραμμάτων.

Ἐστάχωται δὲ ὁ κῶδιξ διὰ περικαλύμματος ἐκ δαμασκηνοῦ. Φέρει δὲ τέσσαρας ἐν ὅλῳ ἀργυρᾶς γωνίας ἔμπροσθεν καὶ ὄπισθεν καὶ πλὴν τούτων δύο ἀργυρᾶς γωνίας πρὸς τῇ ῥάχει ἔμπροσθεν, κλείεται δὲ διὰ δύο ἀργυρῶν θηλυκωτήρων.

Κῶδιξ ἐπιφανὴς διά τε τὴν καλλιγραφίαν καὶ τὰ ποικίλματα.
Ὁ κῶδιξ ἔχει μῆκος 0,295 καὶ πλάτος 0,235 πάχος δὲ μετὰ καὶ τοῦ περικαλύμματος 0,06.

***5505. 1385.** Χαρτ. φύλλ. XVII.
Εὐαγγέλιον.

Ἐν τέλει· [Α]ὐτὸ τὸ θεῖον καὶ ἱερὸν ἅγιον Εὐαγγέλιον ἐγράφη διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Οὐγκροβλαχίας Λουκᾶ τοῦ Κυπρίου διὰ ἐξόδου τοῦ πανευγενεστάτου ἄρχοντος μεγάλου βεστιαρίου κυρίου Ῥίζου καὶ ἀφιέρωσεν αὐτὸ εἰς τὴν μονὴν τῶν Ἠβήρων ἐν τῷ ἁγιωνύμῳ Ὄρει ἐν ἡμέραις τοῦ πανευσεβεστάτου αὐθεντὸς κυρίου Ἰω. Ἀλεξάνδρου Βοεβόνδα υἱοῦ τοῦ ἀφεντὸς Ῥάδουλου Βοεβόνδα ἐν ἔτει ,ζρλβ' ἀπὸ δὲ τῆς ἐνσάρκου οἰκονομίας αχκδ' ἰνδικτιῶνος ζ' (=1624).

Κοσμεῖται ὑπὸ ἀρχικῶν γραμμάτων καὶ τῶν εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν. Τινὲς τῶν σελίδων εἰσὶ χρυσόγραφοι. Περιβάλλεται δὲ ὑπὸ καλύμματος ἀργυροτεύκτου καὶ κεχρυσωμένου.

Ἀπόκειται ἐν τῷ τῆς μονῆς θησαυροφυλακίῳ.

***5506. 1386.** Χαρτ. φύλλ. μέγ. XVII.
Εὐαγγέλιον.

Ἐν τέλει· Τὸ παρὸν θεῖον καὶ ἱερὸν Εὐαγγέλιον ἐγράφθη παρ' ἐμοῦ τοῦ εὐτελοῦς καὶ ἀναξίου Ματθαίου μοναχοῦ πρεσβυτέρου καὶ ἀρχημανδρίτου τῆς μεγάλης ἐκκλησίας τοῦ ἐκ Πωγωνιανῆς ἐν ἔτει ,ζρια' ἰνδ. α' μηνὶ Μαΐῳ κδ' (=1603). Οὗτος ὁ ἀρχιμανδρίτης ἐγένετο ὕστερον μητροπολίτης Μυρέων.

Κοσμεῖται ὑπὸ ἀρχικῶν γραμμάτων καὶ τῶν εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν. Περιβάλλεται δὲ ὑπὸ καλύμματος ἔχοντος ἀνάγλυφα ἀργυρᾶ μετ' ἐγκαύστων.

Ἀπόκειται ἐν τῷ τῆς μονῆς θησαυροφυλακίῳ.

Κ΄

ΚΩΔΙΚΕΣ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ ΤΗΣ ΜΟΝΗΣ ΑΓΙΟΥ ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ

5507. 1.

Περγ. φύλλ. (0,33×0,26). XII. σελ. 2 (φ. 249).
Εὐαγγέλιον.

Ὁ κῶδιξ ἀπαρτίζεται ἐκ δύο μερῶν, ὧν τὸ πρῶτον φαίνεται γεγραμμένον ἐν μεταγενεστέροις χρόνοις, ἴσως τὸν XIV. αἰῶνα. Ὁ δὲ ΠΟΡΦΥΡΙΟΣ ΟΥΣΠΕΝΣΚΗΣ θεωρεῖ τὸν κώδικα γεγραμμένον τὸν X. αἰῶνα διὰ μόνον τὸν λόγον, ὅτι ἐν τῇ σειρᾷ τῶν εὐαγγελίων λείπει ἡ ἑορτὴ τῶν τριῶν Ἱεραρχῶν, ἣν ἡ ὀρθόδοξος ἐκκλησία εἰσήγαγεν ἐπὶ τοῦ αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ. Ἐσημείωσε δὲ τὴν γνώμην αὐτοῦ ταύτην ὁ ΟΥΣΠΕΝΣΚΗΣ ῥωσιστὶ διὰ μολυβδίδος ἐν τῷ πρώτῳ παραφύλλῳ. Ἀλλὰ παρατηρητέον, ὅτι ὁ κῶδιξ ἐστι πάντως νεώτερος, διὸ καὶ αὐτὸς ὁ ΟΥΣΠΕΝΣΚΗΣ ἀναγκάζεται ὁμολογῆσαι, ὅτι τὰ τετράδια τοῦ κώδικος κγ΄ καὶ κδ΄, ἀλλὰ ταῦτα μόνα, θεωρεῖ γεγραμμένα τὸν XI. αἰῶνα. Ἀλλὰ δέον ὅμως σημειωθῆναι, ὅτι ἡ ἐκ μόνης τῆς ἀπουσίας τῆς ἑορτῆς τῶν τριῶν Ἱεραρχῶν χρονολόγησις τῶν εὐαγγελίων ἐστὶν ἐπισφαλὴς οὐχ ἧττον ἢ ὁ ἐκ τοῦ χρόνου εἰς ὃν ἐξικνοῦνται Πασχάλια ἐγγεγραμμένα ἔν τινι κώδικι ὁρισμὸς τοῦ αἰῶνος καθ᾿ ὃν ἐγράφη οὗτος. Καὶ ταῦτα ἐπειδὴ ὑπάρχουσι κώδικες ἀντιγραφέντες ἐξ ἀρχαιοτέρων μετὰ καὶ τῶν ἐν αὐτοῖς συμπεριλαμβανομένων παλαιοτέρων Πασχαλίων ἢ καὶ ἄνευ προσθήκης τῆς λειπούσης ἑορτῆς τῶν τριῶν Ἱεραρχῶν.

Τὰ φ. 1, 2, 4—6, 23—26, 75, 76, 185—188 καὶ 245—249 χαρτῷα XVII. αἰῶνος πρὸς ἀναπλήρωσιν τῶν ἐκ περγαμηνῆς ἐκπεσόντων.

*5508. 2.

Περγ. φύλλ. (0,31×0,23). XI. σελ. 2. (φ. 257).
Εὐαγγέλιον μετὰ σημαδοφώνων.

Τέλ. (κολ.) ἐν τῷ κατὰ Μάρκον εὐαγγελίῳ τῷ ἀρχομένῳ Τῷ καιρῷ ἐκείνῳ ἤκουσεν Ἡρώδης ὁ βασιλεὺς ἐν ταῖς λέξεσι καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι καὶ οὐκ ἠδύνατο. Ὁ γὰρ Ἡρώδης...

Ἑκατέρα τῶν σελίδων περιέχει στίχους ἑκκαίδεκα, τὸ δὲ πάχος τοῦ σώματος ἑκάστου τῶν γραμμάτων 0,005.

Κοσμεῖται πλουσίως μετ᾿ ἐξόχου φιλοκαλίας ὑπὸ ἐπιτίτλων, λαμπρῶν ἀρχικῶν γραμμάτων καὶ εἰκόνων.

Καὶ ἐπίτιτλα μὲν μεγάλα εὕρηνται (1) ἐν φ. 1α· (2) ἐν φ. 84 α, οὗ ἐντὸς ἡ ἐπιγραφὴ Ⓔ Α΄ ΤΟΥ ΝΕΟΥ ΕΤΟΥC· (3) ἐν φ. 116 α, οὗ ἐντὸς ἡ ἐπιγραφὴ Ⓔ Α΄ ΤΩΝ ΝΗCΤΕΙΩΝ ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΔΩΡΟΥ· (4) ἐν φ. 186 α, οὗ ἐν μέσῳ ἡ κάτωθι περιγραφομένη ὑπ᾿ ἀρ. 4 εἰκών· (5) ἐν φ. 204 α κιονωτὸν ἐπίτιτλον, οὗ ἐντὸς ἡ ὑπ᾿ ἀρ. 10 εἰκών, καὶ (6) ἐν φ. 218 α, οὗ ἐντὸς ἡ ὑπ᾿ ἀρ. 13 εἰκών. Μικρὰ δ᾿ ἐπίτιτλα εὕρηνται (1) ἐν φ. 154 α· (2) ἐν φ. 188 α· (3) ἐν φ. 190 α· (4) ἐν φ. 193 β· (5) ἐν φ. 194 β· (6) ἐν φ. 196 α· (7) ἐν φ. 199 α· (8) ἐν φ. 203 α· (9—10) ἐν φ. 204 α (δύο)· (11) ἐν φ. 205 α· (12) ἐν φ. 206 β· (13) ἐν φ. 237 α· (14) ἐν φ. 240 β· (15) ἐν φ. 244 α καὶ (16) ἐν φ. 250 β. Ἁπλᾶ δ᾿ ἐπίτιτλα εὕρηνται (1) ἐν φ. 229 α καὶ (2) ἐν φ. 233 β.

Ἀρχικὰ δὲ γράμματα ἔχει ὁ κῶδιξ τάδε· (1) ἐν φ. 1 α Є σχηματιζόμενον ὑπὸ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ τοῦ παρὰ τοὺς πόδας αὐτοῦ καθημένου Προχόρου· (2) ἐν φ. 2 α Τ σχηματιζόμενον ὑπὸ μικρᾶς εἰκόνος Ἰωάννου τοῦ Προδρόμου· ἐν δὲ τῇ ᾤᾳ εἰκονίζονται δύο μαθηταὶ αὐτοῦ, διότι τὸ ἀρχικὸν γράμμα εὕρηται ἐν ἀρχῇ τοῦ χωρίου Τῷ καιρῷ ἐκείνῳ εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο· ἄνωθεν δὲ τῆς ἀρχῆς τοῦ Εὐαγγελίου τούτου ἐν μικρῷ θυρεῷ ἐφθαρμένη εἰκὼν τοῦ Ἰησοῦ· (3) ἐν φ. 4 α Ο σχηματιζόμενον ἐκ χρυσοῦ ἐδάφους, ἐν ᾧ ὁ Ἰησοῦς καθήμενος· (4—7) ἐν φ. 5 β, 11 α, 13 α καὶ 14 α Τ ἁπλοῦν· (8) ἐν φ. 16 β κυανοῦν καὶ χρυσοῦν Ο ἐξ ἀνθεμίων· (9) ἐν φ. 9 α Τ ἁπλοῦν· (10) ἐν φ. 21 α ὡραιότατον Τ ἀποτελούμενον ἐκ τῆς εἰκόνος Ἰωσὴφ τοῦ ἐξ Ἀριμαθείας· (11) ἐν φ. 23 β ἁπλοῦν Є· (12) ἐν φ. 25 β ἁπλοῦν Τ· (13) ἐν φ. 28 α Τ τελευτῶν πρὸς τὰ κάτω εἰς λέοντα· (14) ἐν φ. 30 β Є περίκοσμον· (15) ἐν φ. 32 β Τ ἐπὶ τῆς κεφαλῆς πτηνοῦ πρὸς τὰ δεξιὰ ὁρῶντος· (16) ἐν φ. 38 β Є ἁπλοῦν· (17) ἐν φ. 40 β Τ σχηματιζόμενον ὑπὸ τοῦ Ἰησοῦ, πρὸς ὃν ἔρχεται ὁ τυφλὸς κρατῶν βακτηρίαν· (18) ἐν φ. 46 α Є σχηματιζόμενον ὑπὸ δύο ὑαινῶν ἀντιθέτως ἱσταμένων ἐπὶ μεσαίας κεραίας· (19) ἐν φ. 48 α Τ ἁπλοῦν· (20) ἐν φ. 50 α Τ φερόμενον

ὑπὸ πτηνοῦ· (21) ἐν φ. 52 α Τ φερόμενον ὑπὸ λέοντος· (22) ἐν φ. 57 α Є σχηματιζόμενον ὑπὸ προτομῆς κρατούσης διὰ τῆς χειρὸς κύπελλον· (23) ἐν φ. 58 β Τ ἁπλοῦν· (24) ἐν φ. 59 β Є κατὰ τὸν τύπον χειρὸς εὐλογούσης· (25) ἐν φ. 61 β Τ ἁπλοῦν· (26) ἐν φ. 63 α Τ σχηματιζόμενον ὑπὸ τοῦ Ἰησοῦ εὐλογοῦντος τοὺς ἐν τῇ ᾠᾷ ἀπέναντι αὐτοῦ δύο δαιμονιῶντας τῆς χώρας τῶν Γεργεσηνῶν· (27) ἐν φ. 64 β Τ οὗ κάτωθεν δίκωπον πλοῖον, ἀναφερόμενον εἰς τὸ χωρίον Τῷ καιρῷ ἐκείνῳ ἐμβὰς ὁ Ἰησοῦς εἰς πλοῖον· (28) ἐν φ. 65 β Τ ἐπὶ πτηνοῦ· (29, 30) ἐν φ. 67 α καὶ 68 α Τ ἁπλοῦν· (31) ἐν φ. 70 α Τ ἐπὶ πτηνοῦ· (32) ἐν φ. 71 β Є σχηματιζόμενον ὑπὸ δύο πτηνῶν· (33) ἐν φ. 73 β Τ. ἁπλοῦν· (34, 35) ἐν φ. 75 α καὶ 77 α Є ἁπλοῦν· (36) ἐν φ. 79 α Τ ἁπλοῦν· (37) ἐν φ. 80 α Є σχηματιζόμενον ὑπὸ δύο ἀντιθέτως βλεπόντων πτηνῶν, ὧν ἐν μέσῳ χεὶρ εὐλογοῦσα· (38, 39) ἐν φ. 84 α καὶ 85 α Τ ἁπλοῦν· (40) ἐν φ. 87 α Є ἁπλοῦν· (41) ἐν φ. 88 α Τ ἁπλοῦν· (42) ἐν φ. 88 β Є σχηματιζόμενον ὑπὸ δύο πτηνῶν, ὧν ἐν μέσῳ ὄφις· (43) ἐν φ. 90 β Є σχηματιζόμενον ὑπὸ τοῦ πλουσίου τοῦ ἐνδιδυσκομένου πορφύραν καὶ βύσσον, καθημένου ἐντὸς τοῦ γράμματος, πρὸς ὃν προσέρχεται ὁ πτωχὸς Λάζαρος, βαίνων ἐπὶ δύο ῥάβδων ὀζωδῶν πρὸς τὸν πυλῶνα τοῦ πλουσίου, εἰκονιζόμενον ὑπὸ τὸ γράμμα Є. Τὰ χρώματα τῆς περιβολῆς τοῦ πλουσίου οὐκ ἀνταποκρίνονται πρὸς τὴν περιγραφὴν τοῦ πλουσίου τοῦ Εὐαγγελίου· (44, 45) ἐν φ. 92 β καὶ 95 α Τ ἁπλοῦν· (46) ἐν φ. 97 β Τ σχηματιζόμενον ὑπὸ τοῦ Ἰησοῦ, πρὸς ὃν προσέρχεται ὁ νομικός, ἀνατείνων ἄμφω τὰς χεῖρας· (47, 48) ἐν φ. 99 β καὶ 101 β Є ἁπλοῦν· (49) ἐν φ. 103 α Τ ἐπὶ ἀετοῦ σπαράσσοντος λαγωόν· (50) ἐν φ. 104 α Τ ἁπλοῦν· (51) ἐν φ. 105 β Τ ἐπὶ πτηνοῦ· (52) ἐν φ. 106 β Τ οὗ τὸ ἄνω μέρος κατέχει ὁ Ζακχαῖος, ὃν εὐλογεῖ ἔξωθεν τοῦ γράμματος εἰκονιζόμενος ὁ Ἰησοῦς· (53—55) ἐν φ. 108 α, 108 β καὶ 112 α Є ἁπλοῦν· (56—58) ἐν φ. 116 α, 118 α καὶ 119 β Τ ἁπλοῦν· (59) ἐν φ. 121 β Є σχηματιζόμενον ὑπὸ τοῦ Ἰησοῦ καθημένου καὶ εὐλογοῦντος· (60, 61) ἐν φ. 123 α καὶ 125 β Τ ἁπλοῦν· (62) ἐν φ. 128 α Τ σχηματιζόμενον ὑπὸ τοῦ Λαζάρου ὀρθίου ἐν σαβάνῳ· (63, 64) ἐν φ. 134 β καὶ 137 β Π ἁπλοῦν· (65) ἐν φ. 139 α Τ ἁπλοῦν· (66) ἐν φ. 140 α Ο σχηματιζόμενον ὑπὸ προτομῆς τοῦ Ἰησοῦ· (67) ἐν φ. 154 α Є ἁπλοῦν· (68) ἐν φ. 172 α Ο ἁπλοῦν· (69) ἐν φ. 175 β Α ἁπλῶς ἐρυθρόν· (70) ἐν φ. 177 β Τ ἐπὶ ἀνδρὸς ἐρυθροῦ ὀκλάζοντος· (71) ἐν φ. 179 α Τ δίκην λαμπάδος, κρατούμενον ὑπὸ χειρός· (72, 73) ἐν φ. 181 β καὶ 182 β Τ σχηματιζόμενον ὑπὸ πτηνοῦ· (74—77) ἐν φ. 184 α, 186 α, 188 α καὶ 190 α Τ ἁπλοῦν· (78) ἐν φ. 193 β Є ἁπλοῦν· (79) ἐν φ. 195 α Є κατὰ τὸν τύπον χειρὸς εὐλογούσης· (80) ἐν φ. 196 α Τ ἁπλοῦν· (81, 82) ἐν φ. 199 α καὶ 200 α Є ἁπλοῦν· (83) ἐν φ. 201 β Τ σχηματιζόμενον ὑπὸ τῆς εἰκόνος Φιλίππου τοῦ ἐκ Βηθσαϊδᾶ· (84) ἐν φ. 203 α Є ἁπλοῦν· (85) ἐν φ. 206 β Β σχηματιζόμενον ὑπὸ δύο ψιττακῶν, τοῦ μὲν ἐπὶ κυπαρίσσου, τοῦ δὲ κάτωθεν αὐτῆς· (86) ἐν φ. 213 β Τ ἁπλοῦν· (87) ἐν φ. 215 β Α ἁπλοῦν· (88, 89) ἐν φ. 218 α καὶ 225 α Τ ἁπλοῦν· (90) ἐν φ. 226 α Τ σχηματιζόμενον ὑπὸ τῆς εἰκόνος Ἰωάννου τοῦ Προδρόμου· (91) ἐν φ. 227 α Є σχηματιζόμενον ὑπὸ τῆς εἰκόνος τοῦ ἁγίου Εὐθυμίου· (92) ἐν φ. 231 β Τ ἁπλοῦν· (93, 94) ἐν φ. 233 β καὶ 237 α Є ἁπλοῦν· (95) ἐν φ. 239 β Τ ἁπλοῦν· (96) ἐν φ. 240 β Є ἁπλοῦν· (97) ἐν φ. 241 β Τ ἁπλοῦν· (98) ἐν φ. 244 α Є ἁπλοῦν· (99, 100) ἐν φ. 249 β καὶ 254 β Τ ἁπλοῦν· (101) ἐν φ. 256 β Є ἁπλοῦν· (102, 103) ἐν φ. 256 β καὶ 257 α Τ ἁπλοῦν.

Περιγράφησαν μὲν ἀνωτέρω ἰδίᾳ τὰ ποικιλώτερα καὶ πολυπλοκώτερα τὴν σύνθεσιν τῶν ἀρχικῶν γραμμάτων· ἀλλὰ καὶ τὰ ἐπικληθέντα ἁπλᾶ οὐκ εἰσί τινα ἄτεχνα, ὠνομάσθησαν δ' οὕτω μόνον διὰ τὸ ἐκ πολυσυνθέτων γραμμῶν καὶ ἀνθεμίων ἀποτελεῖσθαι ἄνευ τοῦ ἀποτελεῖν εἰκόνας ὅλας. Εἰσὶ δ' ἄλλως καὶ ταῦτα τὰ κληθέντα ἁπλᾶ οὐ μόνον περίκοσμα, ἀλλὰ καὶ διάφορα ἑκάστοτε ἀλλήλων. Τὰ δὲ ἰδιαίτερον περιγραφέντα καὶ ἐξ εἰκόνων σχηματιζόμενά εἰσιν ἰδίου λόγου ἄξια οὐ μόνον διὰ τὸ περίτεχνον, ἀλλ' ἔνια καὶ διὰ τὴν γνῶσιν τῶν κατὰ τὴν ἐνδυμασίαν καὶ τὸν βίον τῶν Βυζαντίνων, ὡς μάλιστα τὰ ὑπ' ἀρ. 17, 43 καὶ 45.

Εἰκόνες δὲ περιέχονται ἐν τῷ κώδικι αἱ ἑξῆς· (1) ἐν φ. 55 β εἰκὼν ὁλοσέλιδος τοῦ εὐαγγελιστοῦ Ματθαίου καθημένου καὶ γράφοντος· (2) ἐν φ. 83 β ὁλοσέλιδος εἰκὼν τοῦ εὐαγγελιστοῦ Λουκᾶ· (3) ἐν φ. 115 β ὁλοσέλιδος εἰκὼν τοῦ εὐαγγελιστοῦ Μάρκου· ἐπὶ δὲ τοῦ ἀναλογίου τοῦ ἐπὶ τῆς τραπέζης, παρ' ᾗ κάθηται ἀναγινώσκων καὶ ἐφ' ἧς τὰ πρὸς γραφὴν ἐργαλεῖα αὐτοῦ, εὕρηται διεπτυγμένος κῶδιξ φέρων συμβολικὰ γράμματα, ἅτινα οὐ φαίνονται ὄντα τῶν γνωστῶν ταχυγραφικῶν σημείων· (4) ἐν φ. 186 α ἐν μέσῳ ἐπιτίτλου Συμεὼν ὁ Στυλίτης ἐπὶ στύλου, κάτωθεν δ' αὐτοῦ μοναχὸς εὐχόμενος· (5) ἐν φ. 189 β ὁλοσέλιδος παράστασις τῆς ὑψώσεως τοῦ τιμίου Σταυροῦ· (6) ἐν φ. 197 α ὁλοσέλιδος εἰκὼν διῃρημένη εἰς τέσσαρα ἴσα τμήματα, ἐν οἷς παρίστανται θαύματα τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἰωμένων νοσοῦντας· (7) ἐν φ. 197 β ὁλοσέλιδος εἰκὼν παριστῶσα τὸν Ἰησοῦν ἀφ' ὕψους εὐλογοῦντα τοὺς κάτωθεν αὐτοῦ ἱσταμένους ἁγίους Ἀναργύρους· (8) ἐν φ. 202 α ὁλοσέλιδος εἰκών, ἐν ᾗ παρίσταται ἡ Παρθένος, προπορευομένη τοῦ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἀγόντων εἰς τὸν ναόν· ἕπονται δ' ἑπτὰ παρθένοι λαμπαδηφοροῦσαι. Τὸ βάθος τῆς εἰκόνος ἀποτελοῦσι δεξιόθεν μὲν βράχος, ἐν δὲ τῷ μέσῳ καὶ ἀριστερόθεν οἰκήματα· (9) ἐν φ. 202 β ὁλοσέλιδος εἰκὼν παριστῶσα τὰ εἰσόδια τῆς Θεοτόκου· (10) ἐν φ. 204 α εἰκὼν τῆς ἁγίας Βαρβάρας ἐντὸς κιονωτοῦ ἐπιτίτλου· (11) ἐν φ. 205 α ἐν μικρῷ ἐπιτίτλῳ ἐξίτηλος εἰκὼν τοῦ ἁγίου Νικολάου καὶ σωζομένη εἰκὼν τοῦ ἁγίου Εὐστρατίου· (12) ἐν φ. 210 α ὁλοσέλιδος εἰκών, ἐν ᾗ παρίστανται οἱ ποιμένες ἀγραυλοῦντες· (13) ἐν φ. 210 β ὁλοσέλιδος παράστασις τῆς γεννήσεως τοῦ Σωτῆρος· (14) ἐν φ. 218 α ἐντὸς ἐπιτίτλου ὁ ἅγιος Βασίλειος ἐν θυρεῷ· (15) ἐν φ. 221 α ὁλοσέλιδος παράστασις τῆς ὑπὸ τοῦ Ἰησοῦ παρὰ Ἰωάννου τοῦ Προδρόμου αἰτήσεως βαπτίσεως· (16) ἐν φ. 221 β ὁλοσέλιδος παράστασις τῆς βαπτίσεως τοῦ Ἰησοῦ, ὅλου ἐμβεβαπτισμένου ἐν τῷ ὕδατι πλὴν τῆς κεφαλῆς· (17) ἐν φ. 228 α ὁλοσέλιδος εἰκὼν τοῦ Συμεὼν ὑποδεχομένου τὴν χριστοτόκον Παρθένον (προεόρτια τῆς Ὑπαπαντῆς)· (18) ἐν φ. 228 α ὁλοσέλιδος παράστασις τῆς Ὑπαπαντῆς· (19) ἐν φ. 236 α ὁλοσέλιδος εἰκὼν τῆς Παρθένου ἀσπαζομένης τὴν Ἐλισάβετ· (20) ἐν φ. 236 β ὁλοσέλιδος ὁ Εὐαγγελισμός· (21) ἐν φ. 239 α ἐξίτηλος εἰκὼν τοῦ ἁγίου Γεωργίου· (22) ἐν φ. 243 α ὁλοσέλιδος παράστασις ἀγγέλου παρουσιαζομένου εἰς τὸν Ζαχαρίαν· (23) ἐν φ. 243 β ὁλοσέλιδος παράστασις τῆς γεννήσεως Ἰωάννου τοῦ Προδρόμου· (24) ἐν φ. 251 β ὁ ἅγιος Παντελεήμων· (25) ἐν φ. 252 α ὁλοσέλιδος εἰκὼν τοῦ Ἰησοῦ μετὰ τριῶν μαθητῶν ἀναβαίνοντος εἰς τὸ ὄρος Θαβώρ· (26) ἐν φ. 252 β ὁλοσέλιδος εἰκὼν τῆς μεταμορφώσεως τοῦ Σωτῆρος. Ὁμοία παράστασις εὕρηται ἐν τῷ ὑπ' ἀρ. 4121 (1) κώδικι, ἣν ἴδε ἀπεικονιζομένην παρὰ Brockhaus Die Kunst in den Athosklöstern Πίν. 25.

Τὸ φ. 256 α ἔμεινε λευκόν, πιθανῶς μὴ ζωγραφηθείσης τῆς διὰ τὸν κενὸν ἐκεῖνον χῶρον προωρισμένης εἰκόνος τῆς Κοιμήσεως. Τὸ δὲ φ. 56 α ἐκπεσὸν ἀνεπληρώθη διὰ χαρτῴου XVI. αἰῶνος, ἐν ᾧ εὕρηται νεώτερον ἐπίτιτλον καὶ περίκομψον Є.

5509. 3.

Περγ. φύλλ. (0,31 × 0,25). XII. σελ. 2. (φ. 301).
Εὐαγγέλιον.

Μετὰ σημαδοφώνων ἐρυθρῶν.

Τὰ φ. 3—6 χαρτῷα (XIX. αἰῶνος) πρὸς ἀναπλήρωσιν τῶν ἀρχαιοτέρων ἐκπεσόντων.

5510. 4.

Περγ. φύλλ. (0,31 × 0,24). XII. σελ. 2. (φ. 171).
Εὐαγγέλιον.

Μετὰ σημαδοφώνων ἐρυθρῶν.

Ἄρχ. (ἀκέφ.) ἀπὸ τοῦ Σαββάτου η΄ διὰ τῶν λέξεων...ὢ γενεὰ ἄπιστος. Τέλ. (κολ.) ἐν τῇ παραβολῇ τοῦ κυρίου τοῦ ἀμπελῶνος ἐν ταῖς λέξεσιν ἀδικῶ σε οὐχὶ δηναρίου συνεφώνησάς μοι...

*5511. 5.

Περγ. φύλλ. (0,32 × 0,25). XIV. σελ. 2. (φ. 322).
Εὐαγγέλιον.

Ἄρχ. (ἀκέφ.)· τῇ γ΄ τῆς β΄ ἑβδομάδος διὰ τῶν λέξεων... [με]θυσθῶσι τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον. Τέλ. (κολ.) ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν μένῃ ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀ[νόματι]...

Κοσμεῖται ὑπὸ κομψῶν ἀρχικῶν γραμμάτων.

*5512. 6.

Περγ. 8 μέγ. (0,245 × 0,20). XI. (φ. 293).

Γρηγορίου τοῦ Θεολόγου Οἱ ιϛ΄ ἀναγινωσκόμενοι λόγοι.

Ὁ ιϛ΄ Εἰς τὸν πατέρα σιωπῶντα. Τέλ. (κολ.) συμφιλοσόφησον ἡμῖν ὦ θεία καὶ ἱερὰ κεφαλὴ καὶ πα...

Ἐν ἀρχῇ καὶ τέλει ἀνὰ δύο φύλλα (Περγ. XII.) ἐκ ξένου κώδικος περιέχοντος Μηναῖον.

Κοσμεῖται πλουσίως ὑπὸ ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων. Πρὸ ἑκάστου λόγου ἐν ἐπιτίτλοις ἄτεχνοι, ἀλλὰ περίεργοι εἰκόνες, ἀναφερόμεναι εἰς τὸν λόγον. Καὶ αὐτὸ δὲ τὸ κείμενον κοσμεῖται ὑπὸ εἰκόνων. Ἡ δ' ἀρχὴ ἑκάστου λόγου γέγραπται γράμμασι χρυσοῖς.

Εὕρηνται δὲ εἰκόνες ἐν μὲν φ. 2 α, 5 β, 30 α, 39 β, 53 α, 64 α, 77 β, 89 β, 100 α, 161 α, 178 α, 214 α, 219 α, 240 β, 257 α καὶ 281 α ἐν τῷ ἐπιτίτλῳ, ἐν δὲ φ. 63 β, 90 β (Ἰωάννης ὁ Πρόδρομος), 105 α, 116 α, 119 α, 123 α, 132 α, 151 β, 152 α καὶ β, 153 α καὶ β, 154 α καὶ β, 155 α καὶ β, 173 α καὶ 241 β ἐν τῇ ᾤᾳ, ἐν δὲ φ. 38 β (δύο μικραί), 115 α, 134 β, 135 α, 138 α καὶ 162 β ἐν τῷ κειμένῳ, ἐν δὲ φ. 37 α καὶ β, 163 α καὶ β, 164 α καὶ β καὶ 165 α καὶ β ἐν τῇ ἔξω σελίδι τῶν δύο τοῦ ἐν ἐκείνοις τοῖς φύλλοις εἰς δύο σελίδας διῃρημένου κώδικος.

5513. 7.

Περγ. 4. (0,25 × 0,195). XI. (φ. 277).

Βασιλείου Καισαρείας τοῦ νέου Σχόλια εἰς λόγους Γρηγορίου τοῦ Θεολόγου με΄.

α΄. Ὁ ἀρχόμενος διὰ τοῦ Χριστὸς γεννᾶται.—β΄. "Πάλιν Ἰησοῦς ὁ ἐμὸς καὶ πάλιν μυστήριον."—...μγ΄. Ὁ δεύτερος λόγος τῶν Εἰρηνικῶν.—μδ΄. Ὁ τρίτος λόγος τῶν Εἰρηνικῶν.—με΄. Εἰς τοὺς πολιτευομένους καὶ εἰς τὸν ἄρχοντα ὀργιζόμενον.

Προτάσσεται Πίναξ τῶν λόγων εἰς οὓς τὰ Σχόλια.

Ἄρχ. Σχόλια τοῦ λόγου οὗ ἡ ἀρχὴ **Χριστὸς γεννᾶται. Χριστὸς γεννᾶται·** γεννᾶται εἶπεν οὐκ ἐγεννήθη, διότι τὴν αὐτὴν ἀεὶ σώζει θείαν πρόοδον ὁ υἱὸς καὶ Θεὸς ὡς λόγος ἐκ νοῦ ἀνεκφοιτήτως ἀεὶ γεννώμενος οὐχ ἅπαξ ἐκ τοῦ πατρὸς προελθών τε καὶ γεννηθεὶς ὡς ἡμεῖς ἢ ὅτι ἀεὶ γεννᾶται ἐν τοῖς ἐν Πνεύματι ἀναγεννωμένοις ἡμῖν.

Τὰ δὲ Σχόλια τοῦ Εἰς τὸ βάπτισμα δευτέρου λόγου, οὗ ἡ ἀρχὴ **Χθὲς τῇ λαμπρᾷ** ἄρχονται· Τῆς πανηγυρικῆς ἰδέας τοῦ βαπτίσματος ὁ πρότερος τούτου λόγος ὢν εἰ καί τι καὶ τῶν συμβουλευτικῶν ἐπικέκραται τούτων, ὅμως ἐκ τοῦ πλεονάζοντος ὀνομάζεσθαι ἄξιος.

Μετὰ δὲ τὸν ἐν ἀρχῇ Πίνακα τῶν λόγων, εἰς οὓς ἀναφέρονται τὰ Σχόλια, ἕπεται "Προοίμιον. **Βασιλείου** ἀρχιεπισκόπου **Καισαρείας** Καππαδοκίας." Ἄρχ. Ἐν ταῖς μεγίσταις καὶ δημοτελέσι τῶν πανηγύρεων μέγιστε αὐτοκράτορ οὐ μόνον οἱ ἐν τέλει καὶ βαρεῖ πλούτῳ καὶ δόξῃ ἐξογκωμένοι ὑπερφέροντες. Ἔστι δὲ τὸ προοίμιον τοῦτο συνεσφηνωμένον ἐν τῷ κενῷ μείναντι μέρει καὶ ἐν τῇ ᾤᾳ τῆς πρώτης μετ' αὐτὸ σελίδος, ἔνθα ἡ ἀρχὴ τῶν Σχολίων, ἐγράφη δὲ τὸν XIII. αἰῶνα. Ἐκ τούτου δ' ἀφωρμήθη ὁ ἐπιγράψας ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἔν τινι χαρτῴῳ παραφύλλῳ ἐν ἀρχῇ τοῦ κώδικος τάδε· **Βασιλείου** ἐλαχίστου ἀρχιεπισκόπου **Καισαρείας** Καππαδοκίας Ἐξηγήσεις καὶ ὑπομνηματισμοὶ εἰς με΄ λόγους Γρηγορίου Ναζιανζηνοῦ τοῦ Θεολόγου ἀφιερωθέντες Κωνσταντίνῳ αὐτοκράτορι τῷ Πορφυρογεννήτῳ. Οὐκ ἔστι δ' ἀπίθανον, ὅτι καὶ προϋπῆρχέ που ἀλλαχοῦ τοῦ κώδικος ἀρχαιόθεν ἡ τοιαύτη ἐπιγραφή, ἣν πρὸ τοῦ ἐκλιπεῖν ἀντέγραψεν ὁ ταῦτα γράψας.

Ἐν τῇ ὀπισθίᾳ σελίδι τοῦ πρώτου τῶν ἐκ περγαμηνῆς παραφύλλων εὕρηται τὸ σημείωμα Ego martinus Potideata καί· Ἡ βίβλος ἥδε Πελαγονίας πέλει· | ἔξει γὰρ αὐτὴν μονὴ τοῦ Μυροβλήτου, πρὸς δέ· Ἡ παροῦσα βίβλος ἀφιαίρωται τῇ τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου μονῇ τῇ (ἐξίτηλα) μου ἐκ βάθρου (ἐξίτηλα) μνήμης χάριν ἡμετέρας καὶ τῶν γονέων μου. Ὁ Πελαγονίας Δημήτριος.

5514. 8.

Περγ. 16. (0,16 × 0,12). X. (φ. 124).
Τετραευάγγελον.

Ἄρχεται ἀκέφαλον ἀπὸ τοῦ Εὐαγγελίου τοῦ Ματθαίου διὰ τῶν λέξεων...τὴν βασιλείαν τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ. (Ματθ. 13, 52).—φ. 42 α "Εὐαγγέλιον κατὰ Μάρκον."—φ. 84 α ἄρχεται ἀκέφαλον τὸ Εὐαγγέλιον κατὰ Λουκᾶν διὰ τῶν λέξεων...τέκνα καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον (Λουκᾶ 1, 17). Τέλ. (κολ.) καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεοφειλετῶν τοῦ Κυρίου ἔλεγε τῷ πρωτῳ πόσον ὀφείλεις τῷ Κυρίῳ μου...(Λουκᾶ 16, 5).

Φύλλα τινὰ τοῦ κώδικος ἐφθαρμένα ὑφ' ὑγρασίας.

5515. 9.

Περγ. 16. (0,155 × 0,13). X. (φ. 271).
Τετραευάγγελον.

Ἄρχεται ἀκέφαλον ἀπὸ τοῦ Ματθαίου διὰ τῶν λέξεων... ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δ' ἐγέννησε τὸν Ἰωσήφ (Ματθ. 1, 16).—Ἐν φ. 79 α Εὐαγγέλιον κατὰ Μάρκον. Ἄρχ. (ἀκέφ.)...σου ἔμπροσθέν σου φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου (Μάρκ. 1, 2).. —Ἐν φ. 133 α

Εὐαγγέλιον κατὰ Λουκᾶν.—Τελευτᾷ δὲ ὁ κῶδιξ κολοβὸς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ διὰ τῶν λέξεων τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν...(Ἰωάνν. 21, 14).

Τὸ γεγραμμένον μέρος τοῦ κειμένου ἔχει μῆκος μὲν 0, 10, *πλάτος ρὲ* 0, 8.

Ἔφθαρται δεινῶς ἄνωθεν ὑφ' ὑγρασίας.

***5516.** 10.

Περγ. 16. (0,17 × 0,125). XI. (φ. 195).

1 (φ. 1 α). "Εὐχαὶ τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς."

2 (φ. 7 β). **Εὐσεβίου Ἐπιστολὴ** πρὸς Καρπιανόν.

3 (φ. 9 β). Κανόνες ὁμοφωνίας τῶν εὐαγγελίων.

4 (φ. 14 β). Τετραευάγγελον πλῆρες.

Ἑκάστου Εὐαγγελιστοῦ προτάσσονται ἡ Ὑπόθεσις τοῦ κατ' αὐτὸν Εὐαγγελίου καὶ τὰ κεφάλαια.

5 (φ. 194 β). Πασχάλιον.

Ἄρχεται ἀπὸ τοῦ ,ςϡκα' (=1413) *καὶ τελευτᾷ εἰς τὸ ,ςϡλε'* (=1427).

Αἱ *ὑπ' ἀρ.* 1 Εὐχαί, *διήκουσαι μέχρι τοῦ φ.* 6 β, *καὶ τὸ ὑπ' ἀρ.* 5 Πασχάλιον *ἐγράφησαν χειρὶ νεωτέρᾳ* (XV. *αἰῶνος*).

Ἐν φ. 7 α *ἄτεχνος εἰκὼν διὰ μέλανος τῶν μετὰ τὴν ἅλωσιν χρόνων παριστῶσα γυναῖκα.*

***5517.** 11.

Περγ. 8. (0,20 × 0,17). XII. (φ. 245).

Τετραευάγγελον.

Κοσμεῖται *ἐν φ.* 74 β *ὑπὸ τῆς εἰκόνος τοῦ εὐαγγελιστοῦ* Μάρκου, *μεγάλως ἐφθαρμένης.* Ἐν *δὲ φ.* 189 β *σῴζονται ἴχνη μόνον ἐξιτήλου εἰκόνος τοῦ εὐαγγελιστοῦ* Ἰωάννου.

5518. 12.

Περγ. 8. (0,20 × 0,15). XIII. (φ. 270).

Εὐαγγέλιον.

5519. 13.

Περγ. 8 *μικρ.* (0,185 × 0,12). XIII. (φ. 288).

Τετραευάγγελον.

Ἐν *τέλει*· *Τέλος εἴληφεν τὸ ἅγιον καὶ ἱερὸν τετραευάγγελον διὰ συνδρομῆς καὶ ἐξόδου τοῦ πανεντιμωτάτου μεγάλου σακελλαρίου τῆς ἁγιωτάτης ἐπισκοπῆς* Γλαβινίτσης *ἐπὶ ἔτους ,ςψϟζ' ἰνδικτιῶνος* [δ'] (=1289). Ὁ *ἀριθμὸς τῆς ἰνδικτιῶνος οὐκ ἐγράφη.*

Τὰ *φ.* 1—7 *καὶ* 14—23 *ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων* (Χαρτ. XVI.). Ὁ *δὲ κῶδιξ ἔφθαρται ἐνιαχοῦ ὑφ' ὑγρασίας.*

5520. 14.

Περγ. 16. (0,17 × 0,12). XIV. (φ. 234).

Τετραευάγγελον.

Ἐν *τέλει*· *Ἐτελειώθη μηνὶ Ὀκτωβρίῳ ἰνδ. η' τοῦ ,ςωιη' ἔτους* (=1310).

Τὰ *φ.* 233 *καὶ* 234 *ἄγραφα.*

***5521.** 15.

Περγ. 16 *μικρ.* (0,149 × 0,9). XIII. (φ. 317).

1 (φ. 1 α). Τετραευάγγελον.

α' (φ. 3 α). *Τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.—β'* (φ. 44 α). *Τὸ κατὰ Μάρκον Εὐαγγέλιον.—γ'* (φ. 63 α). *Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον.—δ'* (φ. 102 β). *Τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον.*

Προτάσσεται ἐν φ. 1 α "*Τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου* **Βουλγαρίας** *κυρίου* · **Θεοφυλάκτου** *Προοίμιον εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον.*" *Ὁμοίως δὲ καὶ πρὸ τῶν λοιπῶν.*

2 (φ. 130 α). "Ἀκολουθία τῶν Πράξεων."

3 (φ. 135 β). "**Λουκᾶ εὐαγγελιστοῦ** Πράξεις Ἀποστόλων."

4 (φ. 172 β). Ἐπιστολαὶ τῶν Ἀποστόλων.

Κοσμεῖται *ἐν φ.* 101 β *ὑπὸ εἰκόνος ὁλοσελίδου τοῦ εὐαγγελιστοῦ* Ἰωάννου.

Τὰ *φ.* 1—38 *καὶ* 222—317 *ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων* (Χαρτ. XV.).

5522. 16.

Περγ. 8. (0,20 × 0,15). XIII. (φ. 89).

Τετραευάγγελον

ἀκέφαλον, κολοβόν, ἐλλιπές.

α' (φ. 1 α). *Τὸ κατὰ Μάρκον Εὐαγγέλιον.* *Ἀρχ.* (*ἀκέφ.*)... *δοθήσεται αὐτῷ καὶ ὃς οὐκ ἔχει καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ* (Μάρκου 4, 25). *Τέλ.* (*κολ.*)· *ἐκήρυξαν πανταχοῦ τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βε...*(Μάρκου 16, 20).—*β'* (φ. 34 α). *Πίναξ ἀκέφαλος τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου.* *Ἀρχ. ἀπὸ κεφ. ιθ'* "*Περὶ τοῦ υἱοῦ τῆς χήρας.*" *κ'.* "*Περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννου.*" *Τελευταῖα κεφάλαια. πβ'.* "*Περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου.*" *πγ'.* "*Περὶ τοῦ Κλεώπα.*"—*γ'* (φ. 36 α). *Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον.* *Ἀρχ.* (*ἀκέφ.*)...*καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν* (Λουκᾶ 1, 12). *Τέλ.* (*κολ.*) *ἐν κεφ. ξζ'* "*Περὶ τῶν λαβόντων τὰς μνᾶς*" *ἐν λέξεσι καὶ εἰπὼν ταῦτα ἐπορεύσατο ἔμπροσθεν ἀναβαίνων εἰς...* (Λουκᾶ 19, 28).

***5523.** 17.

Περγ. 8. (0,20 × 0,14). XV. (φ. 56).

1. **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.

2. **Βασιλείου τοῦ μεγάλου** Λειτουργία.

3. Λειτουργία τῶν προηγιασμένων.

Ἐν *τέλει*· *Θεοῦ τὸ δῶρον καὶ πόνος Ἀντωνίου ἔτους ,ςϡιζ ἰνδ. β^ας μηνὶ Φεβρουαρίῳ* (=1409).

Δύο *φύλλα χαρτῷα ἐν τέλει* (φ. 55 *καὶ* 56) *περιέχουσι σημειώματα οὐδενὸς λόγου.*

Κοσμεῖται *ὑπὸ ἀτέχνου ὁλοσελίδου εἰκόνος* Βασιλείου *τοῦ μεγάλου*· *ὑπάρχει δὲ καὶ ἡ τοῦ* Ἰωάννου *τοῦ* Χρυσοστόμου *μόνον ἐσχεδιασμένη ἀτεχνότατα.*

***5524.** 18.

Περγ. 8 *μικρ.* (0,18 × 0,14). XV. (φ. 32).

1 (φ. 1 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργία.

Ἀρχ. (*ἀκέφ.*)· *...καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.*

2 (φ. 4 β). "Ἡ θεία λειτουργία

τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Βασιλείου τοῦ μεγάλου.**"

Τέλ. (*κολ.*) *ἐξαιρέτως τῆς Παναγίας ἀχράντου...Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται...*

Τὸ *μὲν ὑπ' ἀρ.* 1 *κοσμεῖται ὑπὸ ἐντέχνων ἀρχικῶν γραμμάτων ζῷα ἢ πρόσωπα παριστώντων, τὸ δὲ ὑπ' ἀρ.* 2 *ἐν φ.* 4 β *ὑπὸ ἐπιτίτλου καὶ ἐντέχνου ἀρχικοῦ γράμματος.*

*5525. 19.
Περγ. 16. (0,165×0,12). XII. (φ. 291).

1 (φ. 1 α). Ψαλτήριον.

2 (φ. 243 α). Αἱ ᾠδαί.

3 (φ. 265 α). "Κανὼν ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον."

4 (φ. 272 α). Οἶκοι τῆς Θεοτόκου.

Ἐν τῷ ἐν ἀρχῇ παραφύλλῳ μεταξὺ ἄλλων σημειωμάτων ἀναξίων λόγου ἄλλῃ χειρὶ νεωτέρᾳ τάδε· (α') Τοῦ ἁγίου ἱερομάρτυρος Θεοδοσίου [ἑσπέ]ρας τῇ αὐτῇ ἡμέρᾳ ἐκοιμήθην ὁ δοῦλος τοῦ Θεοῦ Ματθαῖος μοναχός. (β') Μηνὶ Ἰουνίῳ ζ' ἰνδικτιῶνος α' ἔτους ,ϛωμαᵒ ἐκοιμήθη ὁ τιμιώτατος ἐν μοναχοῖς καὶ ἡγιασμένος πατήρ μου κῦρις Ματθαῖος. (γ') Ἔτους ,ϛωμη' μηνὶ Ἰουνίῳ κϛ' ἰνδ. η' ἐγενόμην διάκονος ὁ εὐτελὴς ἐγὼ καὶ ἀνάξιος Θεόδουλος. (δ') Ἔτους ,ϛωνα' ἐγένετο τέλειος ἱερεύς.

Κοσμεῖται ἐνιαχοῦ ὑπὸ ἀτέχνων ἀρχικῶν γραμμάτων.

5526. 20.
Περγ. 16. (0,165×0,12). XII. (φ. 283).
Ψαλτήριον.

Προτάσσεται Εἰσαγωγὴ, ἥτις ἄρχεται (ἀκέφ.)...τί γοῦν τὸ μετὰ τοῦτο; πόλεμος ἀλλοφύλων ἐφίσταται πολὺς καὶ ἄμαχος καὶ ἀμήχανος, ἐπὶ ξυροῦ δὲ τῷ βασιλεῖ καὶ τῷ ἔθνει τουτὶ τὰ πράγματα. Τέλ. Ἀνεπίγραφος μὲν παρ' Ἑβραίοις ὁ πρῶτος ψαλμὸς οὐδὲ παρὰ τῶν ἑρμηνευσάντων ἔτυχεν ἐπιγραφῆς, ἔστι δὲ οὐ μόνον ἠθικὸς, ἀλλὰ καὶ δογματικός· οὐ μόνον γὰρ παραινεῖ προσέχειν τοῖς θείοις λόγοις, ἀλλὰ καὶ ἀσεβῶν καὶ τῶν ἄλλων ἁμαρτωλῶν περιέχει...ίαν τὴν τιμωρίαν.

Ἐν τέλει τοῦ Ψαλτηρίου μακρὰ σημείωσις τελευτῶσα ὧδε·... μηνὶ Νοεμβρίῳ ἰνδ. βᵃˢ ἔτους ,ϛψβ' (=1194) ἐγράφη τὸ παρὸν Ψαλτήριον διὰ τοῦ ἁμαρτωλοῦ καὶ ἀμονάχου Παύλου ἐπὶ τῆς βασιλείας τοῦ εὐσεβεστάτου βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου καὶ Μαρίας τῆς αὐγούστης.

5527. 21.
Περγ. 16. (0,16×0,115). XII. (φ. 213).

1. Ψαλτήριον.

2. "Κανὼν κατανυκτικὸς ψαλλόμενος καθ' ἑκάστην ἑσπέραν φέρων ἀκροστιχίδα Τὸν νοητὸν ὕμνον ὦ Σῶτερ δέχου: Θωμᾶ."

3. "Συναξάριον σὺν Θεῷ ἐν ἐπιτομῇ τοῦ ὅλου ἐνιαυτοῦ."

5528. 22.
Περγ. 16. (0,17×0,14). XII. (φ. 61).
Ψαλτήριον μετὰ τῶν Ὠδῶν.

Ἐν φ. 60 β—61 β Εὐχαί.

Ἔφθαρται ὑφ' ὑγρασίας.

5529. 23.
Περγ. 8 μικρ. (0,18×0,13). XIII. (φ. 194).

1 (φ. 1 α). Ψαλτήριον.

2 (φ. 169 α). Αἱ Ὠδαὶ μετὰ καὶ διαφόρων Κανόνων εἰς τὸν Χριστὸν καὶ τὴν Θεοτόκον.

Τὰ φ. 178—194 ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ ἄλλων (Βομβ. XIII.).

5530. 24.
Περγ. 8. (0,205×0,14). XIII. (φ. 306).

1 (φ. 1 α). Πράξεις τῶν Ἀποστόλων.

Ἀρχ. (ἀκέφ.)...οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον. Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας (Πράξ. 8, 4).

2 (φ. 72 α). Ἐπιστολαὶ τῶν Ἀποστόλων.

3 (φ. 301 β). Πίνακες τῶν ἑβδομάδων καὶ ἡμερῶν τῶν ἀναγνώσεων.

Ἐν φ. 301 β· Κύριε ἐλέησον τὴν ἀθλίαν ψυχὴν τὴν γράψασαν τὸ παρὸν βιβλίον τοῦτο.

*5531. 25.
Περγ. 8 μέγ. (0,24×0,19). XIII. σελ. 2. (φ. 189).
Τετραευάγγελον.

Προτάσσονται μὲν Πίνακες τῆς ὁμοφωνίας τῶν εὐαγγελίων ἐφθαρμένοι, ἕπεται δὲ "Συναξάριον τῶν καθ' ἡμέραν εὐαγγελίων."

Κοσμεῖται ὑπὸ τῶν εἰκόνων τῶν τεσσάρων Εὐαγγελιστῶν.

5532. 26.
Περγ. 4. (0,265×0,19). XII. (φ. 250)

1 (φ. 1 α). Τετραευάγγελον.

2 (φ. 233 α). "Δήλωσις διαλαμβάνουσα τὴν τοῦ χρόνου τῶν εὐαγγελίων ἀνάγνωσιν καὶ τὴν τῶν Εὐαγγελιστῶν διαδοχὴν πόθεν τὲ ἄρχονται καὶ ποῦ καταλήγουσιν."

3 (φ. 236 α). "Ἑορτολόγιον τῶν ιβ' μηνῶν."

4 (φ. 237 β). "Ἀπόστολοι εἰς διαφόρους μνήμας ἁγίων καὶ εἰς ἑορτὰς δεσποτικάς."

Ὁ κῶδιξ φαίνεται μένων κολοβός.

*5533. 27.
Περγ. φύλλ. (0,29×0,23). XI. σελ. 2. (φ. 293).
Εὐαγγέλιον.

Μετὰ σημαδοφώνων ἐρυθρῶν.

Ἐν φ. 292 β—293 α εὕρηνται γεγραμμένοι καταλογάδην οἱ στίχοι οἵδε·

Ταύτην τὴν βίβλον τὴν ἱερὰν καὶ θείαν
τὴν ὀλόγλυκον καὶ καλῶς γεγραμμένην
ἣν ἐκόσμησεν ἡ τετρακτοῖς τῶν θείων
Ἀποστόλων τὲ καὶ σοφῶν διδασκάλων
Ἰωάννου τὲ φημὶ τοῦ Θεολόγου
ἅμα Ματθαίῳ καὶ Λουκᾷ καὶ τῷ Μάρκῳ
οἳ ἐσάφησαν τοῦ Χριστοῦ καὶ Θεοῦ μου
τήν τε γέννησιν καὶ τὴν βάπτισιν
τὴν περιτομὴν καὶ τὰ θαύματα πάντα
τὰ παθήματα καὶ τὴν ἔγερσιν τούτου
Λουκὰς ὁ πανευτελὴς σὺν Νικολάῳ
καὶ καθηγουμένῳ τε μονῆς τῆς Πέτρας
ταύτην καλλοπήσαντες ὡς ἐκποροῦντες
ἔχειν δὲ καὶ σὲ τὴν ἄχραντον Παρθένον,
τοῦ πρεσβεύειν ἐκτενῶς ὑπὲρ σῶν δούλων
τοῦ τυχεῖν τῆς στάσεως τῶν ἐκλεκτῶν προβάτων
καὶ ἀπόλαυσιν τῆς Χριστοῦ βασιλείας ἀμήν.

Καὶ τάδε·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ Νικολάου μοναχοῦ καὶ καθηγουμένου μονῆς

(sic) τοῦ πόθῳ κτησαμένου τὴν ἁγίαν δέλτον ταύτην· ἐγράφη δὲ διὰ Λουκᾶ μοναχοῦ ἁμαρτωλοῦ καὶ ἀσώτου· οἱ ἀναγινώσκοντες τὴν ἁγίαν δέλτον ταύτην πρεσβυτεροπαπαδοδιάκονοι εὔχεσθαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον εἰ καὶ ὡς ἄνθρωπος ἔσφαλα σύνγνωτέ μοι διὰ τὸν Θεὸν ἀμήν.

Καὶ τάδε·

Ἐτελειώθη δὲ ἐν ἔτη ,ϛφπ' ἰνδικτ. δεκάτης (=1072) ἐπὶ τῇ ἀφερέσῃ τῶν αἰσθητῶν ὀφθαλμῶν Ῥωμανοῦ βασιλέως τοῦ Διογένους καὶ τῇ ἐπελεύσει τῶν ἀθέων Τουρκῶν ἀμήν. Λουκάς μοναχός.

Κοσμεῖται ὑπὸ ἀτέχνων ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων.

5534. 28.

Περγ. 4. (0,25×0,175). XIV. (φ. 190).

Τετραευάγγελον.

Ἐν τέλει· [Τ]οῦ ἐν ἱερομονάχοις τιμιωτάτου | πατρὸς κυροῦ Κλήμεντος ἡ τῶν τεσσάρων | Εὐαγγελιστῶν βίβλος εἴληφε τέλος | ἤδη χειρὶ γραφεῖσα Μιχαὴλ τάλανος ἀναξίου καὶ ἀμαθοῦς τῆς τοιαύτης τέχνης ἐπίκλιν Μορραΐτης ἔτους ,ϛωι' ἰνδ. ιε' (=1302).

*5535. 29.

Περγ. 8. (0,22×0,17). XIII. (φ. 272).

1. Τετραευάγγελον.

Ἀρχ. ἀπὸ τοῦ Εὐαγγελίου κατὰ Ματθαῖον (ἀκέφ.)...καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας (Ματθ. 9, 35).

2. Πράξεις τῶν Ἀποστόλων.

3. Ἐπιστολαὶ τῶν Ἀποστόλων.

4. **Ἰωάννου τοῦ Θεολόγου** Ἀποκάλυψις.

5. Μηνολόγιον τῶν ἀναγνωσμάτων

ἐκ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων.

Ἐν τέλει τοῦ ὑπ' ἀρ. 3 χειρὶ νεωτέρᾳ· Ἀφιερώθοι ἐξ ἐμοῦ Εὐσταθίου Ντήλιου ἐν ἔτει ἐξ Ἀδὰμ ,ζογ' τῷ δὲ σῶτυριώδις ᾳφξε'.

Κοσμεῖται ὑπὸ τῶν εἰκόνων τῶν εὐαγγελιστῶν Λουκᾶ (ὁλοσελίδου) καὶ Ἰωάννου (ἐν ἐπιτίτλῳ) καὶ τῶν τῶν ἀποστόλων Πέτρου, Ἰωάννου τοῦ Θεολόγου, Ἰούδα καὶ Παύλου.

5536. 30.

Περγ. φύλλ. (0,30×0,23). XII. σελ. 2. (φ. 185).

Εὐαγγέλιον.

Τὰ φ. 1—7 ἐκπεσόντα ἀνεπληρώθησαν διὰ νεωτέρων (Χαρτ. XVI.).

*5537. 31.

Περγ. 4. (0,28×0,19). XII. σελ. 2. (φ. 175).

1 (φ. 1 α). Εὐαγγέλιον.

2 (φ. 173 α). Τὰ κεφάλαια τῶν εὐαγγελίων καὶ κύκλοι πασχάλιοι.

Ἐν φ. 173 α· Ἐγράφη διὰ χηρὸς Ἰωάννου ἀναγνόστου τοῦ Σαρκηνὰ μηνὶ Μαΐῳ ϛ' ἰνδ. ιγ' ἔτος ,ϛχπη' (=1180).

Κοσμεῖται ὑπὸ ἀτέχνων ἀρχικῶν γραμμάτων, ἔφθαρται δ' ὑπὸ πυρὸς καὶ ἐνιαχοῦ ὑπὸ τιλφῶν.

5538. 32.

Περγ. 4. (0,27×0,20). σελ. 2. (φ. 236).

Εὐαγγέλιον.

Μετὰ σημαδοφώνων ἐρυθρῶν.

Ἐν φ. 236 β·

Τῷ ἐκτελεστῇ τῶν καλῶν Θεῷ χάρις
τέλος σὺν Θεῷ Εὐαγγελίου.

Τὸ φ. 120 ἐκπεσὸν ἀνεπληρώθη διὰ νεωτέρου (Χαρτ. XVII.).

5539. 33.

Περγ. 8 μέγ. (0,23×0,195). Χ. (φ. 255).

1. Ψαλτήριον.

Μετὰ βραχυτάτων ἑρμηνευμάτων.

Ἀρχ. (ἀκέφ.) ἀπὸ τῆς ἑρμηνείας εἰς τὸν γ' Ψαλμόν·...τοὺς τοῦ διαβόλου· ἁμαρτωλὸς γὰρ ὁ διάβολος καὶ οἱ δαίμονες τὴν ἁμαρτίαν τεκταίνωντες· ὀδόντες δὲ τοῦ διαβόλου εἰσὶν οἱ πονηροὶ λογισμοί. Ἕπεται κείμενον· **Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.** Ἐπακολουθεῖ δὲ ἡ ἑρμηνεία· Σοῦ γὰρ τοῦ κατὰ φύσιν Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τοὺς ἁγίους σου ἡ χάρις σου· πᾶσα γὰρ σωτηρία ἀνθρώπου ματαία. Ἐν ἄλλῳ· Περὶ γὰρ αὐτοῦ εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς τουτέστι τὸν Σταυρόν, οὗ ἡ σωτηρία καὶ ἡ εὐλογία ἐπὶ τὸν λαὸν τῶν ἐθνῶν ἔφθασεν.

Ἕπονται μετὰ τὸ Ψαλτήριον·

Στίχοι ἰαμβηκοὶ εἰς τὸ Ψαλτήριον.

Ὥσπερ τὸ πνεῦμα τὸν Σαοὺλ τὸ συμπνίγον
Δαυῒδ διώκει τῇ βοῇ τῆς κηνύρας
οὕτως γε καὶ νῦν ἡ φάλαγξ τῶν δαιμόνων
τὸ ψαλμικὸν μέλπουσιν ἡμῖν πυκτίον
τῇ σῇ κελεύσει Χριστὲ πόρρω φευγέτω
ὅπως δι' αὐτοῦ ὕμνον ἐν μελῳδίαις,
σοὶ προσφέρω ὡς Θεῷ καθ ἡμέραν.

2. "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου Ὑπόμνημα εἰς τοὺς Ψαλμούς."

Ἀρχ. Πᾶσαι μὲν ἅγιαι αἱ θεῖαι γραφαί. Τέλ. (κολ.) ἔξεστιν ψάλλην κατὰ διάνοιαν κἂν...

5540. 34.

Περγ. 4. (0,26×0,205). XIII. (φ. 174).

Τετραευάγγελον.

Λείπει τὸ τέλος τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου, τελευτῶντος ἐν φ. 120 β διὰ τῶν λέξεων καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν...(Λουκᾶ 24, 9) καὶ ἡ ἀρχὴ τοῦ κατὰ Ἰωάννην, ἀρχομένου ἐν φ. 121 α ὧδε·...αὐτοῦ ἀφῆκε τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν (Ἰωάνν. 4, 4).

Ἐν φ. 154 α—174 β "Ἀρχοτέλειαι τοῦ ἁγίου Εὐαγγελίου."

*5541. 35.

Περγ. 8 μέγ. (0,24×0,185). XIII. (φ. 226).

Τετραευάγγελον.

Ἐν φ. 1 β Πίνακες τῶν κεφαλαίων καὶ τῆς ὁμοφωνίας τῶν εὐαγγελίων.—Ἐν φ. 5 α Τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, προτασσομένου Πίνακος τῶν κεφαλαίων.—Ἐν φ. 64 α Τὸ κατὰ Μάρκον Εὐαγγέλιον, προτασσομένου Πίνακος τῶν κεφαλαίων.—Ἐν φ. 103 β Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, προτασσομένου Πίνακος τῶν κεφαλαίων.—Ἐν φ. 168 α Τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, προτασσομένου Πίνακος τῶν κεφαλαίων.—Ἐν φ. 215 α Συναξάριον καὶ μηνολόγιον τῶν εὐαγγελίων.—Ἐν φ. 224 β Ἀναγνώσματα εἰς διαφόρους ἁγίους, ἀρχόμενα ἀπὸ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, ἐν ᾧ καὶ μένουσι κολοβά.

Κοσμεῖται ἐν φ. 6β, 66β, 105β καὶ 169β ὑπὸ ἐντέχνων εἰκόνων τῶν Εὐαγγελιστῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐφθαρμένων· μάλιστα δ' ἔφθαρται ἡ τοῦ Ματθαίου.

5542. 36.

Περγ. 8. (0,22×0,18). XI. (φ. 220).

Τετραευάγγελον.

Τέλ. (κολ.) τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου λέγει τῇ μητρὶ αὐτοῦ· γύναι ἰδοὺ ὁ υἱός σου· εἶτα λέγει τῷ μαθ[ητῇ]... (Ἰωάνν. 19, 27).

5543. 37.

Περγ. 4. (0,25×0,19). XI. (φ. 232).

1 (φ. 6 α). **Θεοδώρου τοῦ Στουδίτου** Κατηχήσεις.

Προτάσσεται Πίναξ ἀκριβής.

2 (φ. 222 α). "Στιχελεγεία." Ἀρχ.

Ναυκρατίου μεγάλου γλυκερὸς πόνος ὅν ποτε κεῖνος.

3 (φ. 222 α). "Ἐπίγραμμα εἰς τὸν ὅσιον πατέρα ἡμῶν καὶ ὁμολογητὴν Θεόδωρον ἡγούμενον τῶν Στουδίου."

Ἀρχ. Ἐτελειώθη ἐν Κυρίῳ ὁ ὅσιος καὶ μέγας πατὴρ ἡμῶν ὁ Χριστοῦ θεράπων καὶ ὁμολογητὴς Θεόδωρος.

4 (φ. 223 β). "Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ **Θεοδώρου** ἡγουμένου **τῶν Στουδίου** Ἴαμβοι εἰς διαφόρους ὑποθέσεις."

α'. "Εἰς τὰ λείψανα τῶν ἁγίων μαρτύρων."—β'. "Εἰς τὴν κέλλαν τοῦ πατρὸς ἡμῶν."—γ'. "Εἰς ἀποτασσομένους."—δ'. "Εἰς ἡγούμενον."—ε'. "Εἰς ὑποτακτικόν."—ϛ'. "Εἰς τὸν τὰ δεύτερα φέροντα."—ζ'. "Εἰς τὸν οἰκονόμον."—η'. "Εἰς τοὺς ἐπιστημονάρχας."—θ'. "Εἰς τοὺς ἐπιτηρητάς."—ι'. "Εἰς τὸν κανονάρχην."—ια'. "Εἰς τὸν ταξιάρχην."—ιβ'. "Εἰς τὸν κελλαρίτην."—ιγ'. "Εἰς τὸν ἀριστητάριον."—ιδ'. "Εἰς τὸν ὀψοποιόν."—ιε'. "Εἰς τοὺς ῥαφεῖς ἤτοι βεστηαρίους."—ιϛ'. "Εἰς τοὺς ἀφυπνιστάς."—ιζ'. "Εἰς τὸν νοσοκόμον."—ιη'. "Εἰς τοὺς νοσοῦντας."—ιθ'. "Εἰς τοὺς σκυτεῖς."—κ'. "Εἰς τὸ κοιμητήριον."—κα'. "Εἰς πλουσίους καὶ πένητας."—κβ'. "Εἰς κοσμικούς."—κγ'. "Εἰς ὁδίτην."—κδ'. "Εἰς τοὺς παριόντας."—κε'. "Ἐπίγραμμα εἰς τὴν μονήν."—κϛ'. "Εἰς τὸν πυλωρόν."—κζ'. "Εἰς ἀπερχόμενον ἀδελφὸν εἰς διακονίαν."—κη'. "Εἰς ὑποστρέφοντα ἀδελφὸν ἀπὸ διακονίας."—κθ'. "Εἰς τὸ ξενοδοχεῖον."—λ'. "Εἰς ἁγίας εἰκόνας."—λα'-λε'. Πέντε ἄλλα ὁμοίως φέροντα τὴν ἐπιγραφὴν "Ἄλλο."—λϛ'. "Εἰς τὴν ἁγίαν Θεοτόκον."—λζ'-μ'. Τέσσαρα ἄλλα ὁμοίως.—μα'. "Εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ."—μβ'. "Εἰς τὸν ναὸν τῆς Θεοτόκου."—μγ'. "Εἰς ἐνδυτήν."—μδ'. "Εἰς τὸ κιβούριον τοῦ Προδρόμου."—με'. "Εἰς τὸ τέμβλον."—μϛ'. "Εἰς τὸ ἅγιον θυσιαστήριον."—μζ'. "Εἰς τοὺς πυλῶνας τοῦ νάρθηκος."—μη'. "Εἰς τὴν πρώτην εἴσοδον τοῦ ναοῦ."—μθ'. "Εἰς ναοῦ εἴσοδον εἰς Σταυρόν."—ν'. "Ἐπίγραμμα εἰς Σταυρούς."—να'-νϛ'. Ἓξ ἄλλα ὅμοια φέροντα τὴν ἐπιγραφὴν "Ἄλλο."—νζ'. Ἐπιγράμματα μονόστιχα εἰς Σταυρούς.—νη'. "Εἰς τὸν Πρόδρομον."—νθ'. "Εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον."—ξ'. "Εἰς τὸν ἅγιον Παῦλον τὸν ἀπόστολον."—ξα'. "Εἰς τὸν ἅγιον Ζαχαρίαν."—ξβ'. "Εἰς τὸν ἅγιον Διονύσιον."—ξγ'. "Εἰς τὸν ἅγιον Βασίλειον."—ξδ'. "Εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον." Τέλ. (κολ.) βίῳ λάμψας μέγας...

5544. 38.

Περγ. 8 μέγ. (0,243×0,17). XIII. σελ. 2. (φ. 87).

Εὐαγγέλιον (κολοβόν).

5545. 39.

Περγ. 4. (0,29×0,21). XIII. (φ. 24).

Εὐαγγέλιον.

Ἀκέφαλον καὶ κολοβόν. Ἀρχ. (ἀκέφ.)·...καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖτε. (Λουκᾶ 3, 9). Τέλ. (κολ.)· καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ καὶ ὑποστρέψασ... (Λουκᾶ 24, 8).

5546. 40.

Περγ. φύλλ. (0,30×0,25). XIII. σελ. 2. (φ. 24).

Γρηγορίου τοῦ Θεολόγου Λόγοι.

α' (φ. 1α). Λόγος λθ'. Ἀρχ. (ἀκέφ.)...καὶ πνεῦμα Κυρίου πεπλήρωκεν τὴν οἰκουμένην· εἰ τὸ μὲν περιγράφοι τὸ δὲ περιγράφοιτο. Τέλ. ὅτι νοῦ κρεῖττον καὶ ἡ τῶν δευτέρων φύσις· μὴ ὅτι τῆς πρώτης καὶ μόνης· ὀκνῶ γὰρ εἰπεῖν ὑπὲρ ἁπάντων.—β' (φ. 16β). Λόγος μ'. "Τῷ τιμιωτάτῳ καὶ φιλαδέλφῳ συμπρεσβυτέρῳ Κληδονίῳ **Γρηγόριος** ἐπίσκοπος **Ναζιανζοῦ** χαίρειν."—γ' (φ. 18β). Λόγος μα'. "Πρὸς Νεκτάριον ἐπίσκοπον Κωνσταντινουπόλεως." Ἀρχ. Ἔοικε τὴν παροῦσαν ζωήν.—δ' (φ. 20α). "Κατὰ Ἑλλήνων καὶ κατὰ Ἰουλιανοῦ Λόγος α'." Τέλ. (κολ.) οὐ γὰρ ἡμῖν γε σχολὴ μακρότερα...(Migne xxxv, 549).

5547. 41.

Περγ. φύλλ. (0,315×0,24). XII. σελ. 2. (φ. 69).

Ἐφραὶμ τοῦ Σύρου Λόγοι.

α'. Λόγος ἀκέφαλος. Ἀρχ....μοι ὅτι γυμνὴ ἀπ' αὐτῆς ὑψουμένη γίνεται Ἱερουσαλὴμ καὶ οὐκέτι γυνή ἐστι, κἀγώ σοι σαφηνίσω περὶ τῶν χιλίων ἐτῶν.—β'. "Λόγος ἀσκητικός."...Τελευταῖος λόγος "Περὶ πίστεως," οὗ τέλος (κολ.)· διὰ γὰρ δεξιῶν καὶ ἀριστερῶν πειραζόμενος ἄνθρωπος τοῦτ' ἔστι διὰ δόξης καὶ ἀ...

Ἐν τέλει ἐπὶ φύλλων νεωτέρων (Χαρτ. 8. XIX.) "Πίναξ τῶν ἀναγκαιοτέρων ἐν τῇδε τῇ βίβλῳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραίμ." Πρὸ δὲ τοῦ Πίνακος τούτου εὕρηνται δύο φύλλα ἄλλου κώδικος (Περγ. XIV. σελ. 2) περιέχοντα μέρος Ἀποστόλου μετὰ σημαδοφώνων καὶ δύο φύλλα (Χαρτ. XV. σελ. 2), ἐν οἷς μέρος Λόγου **Ἰωάννου τοῦ Χρυσοστόμου**.

5548. 42.

Περγ. 4. (0,25×0,175). XIII. (φ. 213).

"Συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων ἀπὸ πάσης γραφῆς θεοπνεύστου συναθροισθεῖσα καὶ οἰκείως καὶ θεοφιλῶς ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων παρὰ **Παύλου** τοῦ ὁσιωτάτου **πρεσβυτέρου** τῆς μονῆς τῆς ὑπεραγίας **Θεοτόκου τῆς Εὐεργέτιδος.**"

Περιέχονται βιβλία δύο, ἑκάτερον ἐξ ὑποθέσεων ν'. Τοῦ Α' βιβλίου Ὑπόθεσις α' "Ὅτι οὐ δεῖ τινὰ ἑαυτοῦ ἀπογνῶναι ποτὲ κἂν πολλὰ ἥμαρτεν, ἀλλὰ διὰ μετανοίας ἐλπίσαι τὴν σωτηρίαν." ...—μθ'. "Πῶς δεῖ καὶ ποίοις καὶ μέχρι τίνος κεχρῆσθαι τοῖς πρὸς τὴν σκέπην τοῦ σώματος καὶ πῶς οἱ πατέρες ἠγάπων κἂν τοῖς ἐνδύμασι τὴν εὐτέλειαν ἣν ἐν πᾶσι τὸν μοναχὸν δεῖ ἀσπάζεσθαι."—ν'. "Ὅτι οὐ δεῖ πρὸς τέρψιν ἢ κατὰ προσπάθειαν τί ποιεῖν." Τοῦ δὲ Β' βιβλίου Ὑπόθεσις α' "Ὅτι οἱ εὐτελίζοντες ἑαυτοὺς ἔντιμοι εἰσὶ παρὰ Θεῷ."...—ν'. "Πῶς δεῖ τοὺς συνόντας ἀδελφοὺς διορθοῦσθαι ἔν τισι σφαλλομένους καὶ πότε μὲν καὶ ἐν ποίοις σφάλμασι σιωπᾶν χρή, πότε δὲ καὶ ἐν ποίοις λαλεῖν καὶ μὴ ἀποκρύπτειν."

Μεταξὺ τῶν φ. 184 καὶ 185 φύλλα πέντε μὴ συνηριθμημένα.

5549. 43.
Περγ. 4. (0,29 × 0,208). XII. (φ. 302).
1 (φ. 1 α). Τροπάρια τῆς ἁγίας Ἀγάθης καὶ Λουκᾶ τοῦ Στειριώτου. Μετὰ σημαδοφώνων.
2 (φ. 2 α). Ὀκτώηχος.
Ἕπεται ἡ Τετράηχος καὶ τὰ Ἑωθινὰ ἐξαποστειλάρια.

5550. 44.
Περγ. 4. (0,285 × 0,22). XIII. σελ. 2. (φ. 163).
Τριῴδιον.
Ἀκέφαλον καὶ κολοβόν. Τὰ φ. 1, 63 καὶ 64 ἡμίσχιστα.

*5551. 45.
Περγ. 4. (0,30 × 225). XII. (φ. 211).
Τριῴδιον (κολοβόν).
Ἐν ἀρχῇ ἄτεχνον ἐπίτιτλον κόσμημα.

5552. 46.
Περγ. 8 μέγ. (0,245 × 0,195). XII. (φ. 54).
Τριῴδιον.
Ἀκέφαλον καὶ κολοβόν.

5553. 47.
Περγ. 4. (0,27 × 0,205). XII. (φ. 263).
Πεντηκοστάριον.
Ἀκέφαλον. Ἐν τέλει· Ἰακώβου ἁμαρτωλοῦ.

5554. 48.
Περγ. 4. (0,285 × 0,21). XIII., XIV. σελ. 2. (φ. 61).
1 (φ. 1 α). Πεντηκοστάριον (ἀκέφαλον).
2 (φ. 46 α). Προφητολόγιον (κολοβόν).
Τὸ ὑπ' ἀρ. 2 γέγραπται χειρὶ νεωτέρᾳ (XIV.).

†5555. 49.
Περγ. 4. (0,29 × 0,23). XIII. (φ. 228).
Στιχηράριον. Μετὰ φωνῶν.
Ἀκέφαλον καὶ κολοβόν.
Ἐν φ. 103 β δυσξύμβλητος μονοκονδυλικὴ σημείωσις.
Τὰ φ. 108—111 παλίμψηστα. Ἡ κάτωθεν πρώτη γραφὴ μεγαλογράμματος τοῦ VIII. αἰῶνος. Ἦν δ' ὁ ἀρχαῖος κῶδιξ γεγραμμένος κατὰ δύο σελίδας. Ἐν φ. 109 α εὐχερῶς ἀναγινώσκονται τάδε·

ΖΥΓΩ ΔΟΥΛΕΙΑΣ ΥΠΕ
ΒΑΛΛΕ ΥΠΟ ΒΑΡΒΑΡΟΝ
ΦΟΝΙ
ΚΗΝ ΔΕΣΠΟΤΕΙΑΝ.

Ἐν δὲ φ. 109 β ἀναγινώσκεται ἡ ἐπιγραφὴ ΜΑΡΤΥΡΙΟΝ ΙΑΚΩΒΟΥ ΤΟΥ ΠΕΡΣΟΥ. Αὐτόθι καὶ ἐξίτηλον μακρόσχημον ἀρχικὸν Τ. Ἐκ τούτων ἔστιν εἰκάσαι ὅτι ὁ ἀρχαῖος κῶδιξ περιεῖχε Βίους καὶ μαρτύρια ἁγίων.

5556. 50.
Περγ. 8. (0,225 × 0,17). XII. (φ. 239).
Κανόνες παρακλητικοὶ εἰς τὴν Θεοτόκον.
Ἐν τέλει· Ἠσαΐου ἁμαρτωλοῦ καὶ τάχα μοναχοῦ.
Ἐν τῷ ἐν ἀρχῇ παραφύλλῳ χειρὶ XIII. αἰῶνος· Τὸ παρὸν βιβλίον περιέχον κανόνας εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἀφιερώθη τῷ πανσέπτῳ ἡσυχαστικῷ ναῷ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου ὀφεῖλον διαμένειν εἰς τὸν ἅπαντα χρόνον ἀμετακίνητον. Αὐτόθι δὲ χειρὶ XVIII. αἰῶνος· Τὸ παρὸν βιβλίον ἀφιερώθη εἰς τὸν ναὸν τῶν τριῶν ἱεραρχῶν ἐν τῇ σκήτῃ τῆς ἁγίας Ἄννης παρὰ τοῦ ἐν μοναχοῖς Μελετίου.

5557. 51.
Περγ. 4. (0,25 × 0,195). XII. (φ. 191).
Μηναῖον Μαρτίου καὶ Ἀπριλίου.
Τὰ φ. 2 καὶ 184—191 ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων (Χαρτ. XVI.). Τὸ δὲ φ. 1 (Περγ. XII. σελ. 2) περιέχει Τροπάρια.

5558. 52.
Περγ. 4. (0,266 × 0,195). XII. (φ. 235).
Μηναῖον Ἰουλίου (ἀκέφαλον).
Ἐν φ. 234 β Στιχηρὰ εἰς τὸν ἅγιον Παντελεήμονα, γεγραμμένα τὸν XVIII. αἰῶνα.

5559. 53.
Περγ. 4. (0,29 × 0,203). XIII. (φ. 55).
Μηναῖον Νοεμβρίου.
Τελευτᾷ κολοβὸν ἐν τῇ ιε' Νοεμβρίου.

5560. 54.
Περγ. 4. (0,26 × 0,20). XII. (φ. 41).
Μηναῖον Αὐγούστου.
Ἀκέφαλον καὶ κολοβόν. Ἀπὸ ιβ'—κα' Αὐγούστου.

5561. 55.
Περγ. φύλλ. (0,34 × 0,268). XII. σελ. 2. (φ. 268).
Βασιλείου τοῦ μεγάλου Λόγοι.
Ἀρχ. (ἀκέφ.)...ἐπλεονέκτησας· ἀπόδος· ἐμεθύσθης· νήστευσον.—Ἕπεται ὁ Λόγος εἰς τὸν λγ' Ψαλμόν.—Ἐν δὲ φ. 206 α τελευταῖος Λόγος "Περὶ ταπεινοφροσύνης," οὗ τὸ τέλος (κολ.)· οὐδὲν ὑπολέλειπταί σοι πρὸς ἀλαζονείαν ὦ ἄνθρωπε ᾧ τὸ καύχημα καὶ ἡ ἐλπὶς ἐν τῷ νεκρῶσαι μὲν πάντα σεαυτοῦ ζητῆσαι δὲ...
Ἐν μέσῳ τῷ κώδικι διερρύησαν σποράδην φύλλα.

5562. 56.
Περγ. φύλλ. (0,30 × 0,24). XIII. σελ. 2. (φ. 300).
Βασιλείου τοῦ μεγάλου Λόγοι.

5563. 57.
Περγ. φύλλ. (0,35 × 0,27). XI. σελ. 2. (φ. 262).
Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι μϛ' εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον.

5564. 58.
Περγ. φύλλ. (0,30 × 0,23). XIII. (φ. 431).
Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι εἰς ὅλον τὸ ἔτος.
Προτάσσεται Πίναξ τῶν περιεχομένων κατέχων τὰ φ. 1—3, γεγραμμένος δ' ἐπὶ χάρτου (XVIII. καὶ ἐν μέρει XIX.).

5565. 59.
Περγ. φύλλ. (0,36 × 0,267). XI. σελ. 2. (φ. 371).
Συμεὼν τοῦ Μεταφραστοῦ Βίοι ἁγίων Ὀκτωβρίου.

5566. 60.
Περγ. φύλλ. (0,35×0,26). XII. σελ. 2. (φ. 223).
Συμεὼν τοῦ Μεταφραστοῦ Βίοι ἁγίων Δεκεμβρίου α'—ιγ'.
Ἐν φ. 202 β μονοκονδυλικῶς ἄλλῃ χειρί· Τοῦ ἁγίου μητροπολίτου Ζιχνῶν καὶ ὑπερτίμου Δωροθέου.

5567. 61.
Περγ. φύλλ. (0,32×0,23). XIII. σελ. 2. (φ. 324).
Μαυρικίου τοῦ Διακόνου Συναξαριστὴς
εἰς τοὺς κατὰ Μάρτιον μέχρι καὶ Αὐγούστου ἁγίους.
Ὁ κῶδιξ κολοβός· φαίνεται δὲ διαρρυὲν ἓν φύλλον καὶ μόνον.

*5568. 62.
Περγ. φύλλ. (0,35×0,27). VIII. σελ. 2. (φ. 24).
Εὐαγγελιστάριον.
Μετὰ σημαδοφώνων ἐρυθρῶν. Περιέχει δ' Ἀναγνώσματα τῆς μεγάλης ἑβδομάδος.
Κῶδιξ τῆς μεγαλογραμμάτου γραφῆς. Τὰ φ. 1, 2 καὶ 22—24 μικρότερα τῶν λοιπῶν τὸ σχῆμα, ἀλλ' ἀνήκουσιν ὅμως πιθανώτατα εἰς τὸν αὐτὸν κώδικα, ὡς ἐνδεικνύει ἡ γραφή. Τὰ δὲ γράμματα εὕρηνται παρὰ τὸ σύνηθες ἄνωθεν τῶν γραμμῶν τοῦ χαρακώματος.
Κοσμοῦσι τὸν κώδικα τἀρχικὰ γράμματα τάδε· (α') Є οὐκ ἄτεχνον παριστῶν χεῖρα εὐλογοῦσαν, λευκόν, κυανοῦν καὶ χρυσοῦν. (β'—γ') δύο Є τοῦ αὐτοῦ τύπου χειρὸς εὐλογούσης, ἐρυθρά, τέχνης κοινῆς· (δ—ι') ἑπτὰ Τ ἐρυθρά, τέχνης κοινῆς. Ἐν δὲ φ. 1 α ἐπίτιτλον κόσμημα οὐκ ἄκομψον.

5569. 63.
Περγ. φύλλ. (0,374×0,297). XIV. σελ. 2. (φ. 129).
Εὐαγγέλιον (ἀκέφαλον καὶ κολοβόν).
Μετὰ σημαδοφώνων ἐρυθρῶν.
Τὰ φ. 85—129 περὶ τὴν ἄνω δεξιὰν γωνίαν μεγάλως βεβλαμμένα.

*5570. 64.
Περγ. φύλλ. (0,33×0,248). XIII. σελ. 2. (φ. 117).
Εὐαγγέλιον (ἀκέφαλον καὶ κολοβόν).
Πολλαχοῦ μετὰ σημαδοφώνων.
Τὸ ἐν φ. 22 Εὐαγγέλιον τοῦ Πάσχα γέγραπται λατινιστὶ διὰ γραμμάτων ἑλληνικῶν.
Ὁ κῶδιξ γέγραπται ὑπὸ δύο χειρῶν, κοσμεῖται δ' ὑπὸ ἀρχικῶν γραμμάτων ἀτέχνων.

*5571. 65.
Περγ. φύλλ. (0,38×0,29). XI. σελ. 2. (φ. 208).
Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι
πρὸς τοὺς Ἀντιοχεῖς ἀπὸ τῆς μδ' (ἀκεφ.) μέχρι καὶ τῆς ξϛ'.
Ἐν φ. 208 β δὶς μονοκονδυλικῶς· Ὁ Δράμας(;) Ἱεραμίας (;).
Ὕπερθεν ἑκάστης Ὁμιλίας ἐπίτιτλον κόσμημα οὐκ ἄτεχνον.

5572. 66.
Περγ. 8 μικρ. (0,195×0,15). XIII. (φ. 324).
1 (φ. 9 β). Πραξαπόστολος.
2 (φ. 306 α). Συναξάριον τῶν ἀναγινωσκομένων ἀποστόλων.
Ἐν φ. 1 α Πίναξ τῶν ἡμερῶν, καθ' ἃς γίνεται ἡ τῶν καθ' ἕκαστον ἀποστόλων ἀνάγνωσις.
Ἐν φ. 305 β· Εὔχου μοι δέσποτα ἅγιε τῷ ἁμαρτωλῷ Λαυρεντίῳ ἱερομονάχῳ τῷ σταχώσαντι.

*†5573. 67.
Περγ. 8 μικρ. (0,19×0,16). XIII. (φ. 255).
Πραξαπόστολος (ἀκέφαλος).
Ἐν φ. 255 α· Ἐγράφη χειρὶ (ἐσχισμένον) Νικο (τὰ λοιπὰ ἐσχισμένα).
Τὰ φ. 5—6 ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων (Χαρτ. XVI.).
Κοσμεῖται ὑπὸ ἀναξίων λόγου ἀρχικῶν γραμμάτων.
Τὰ φ. 236—244 παλίμψηστα τῆς μεγαλογραμμάτου γραφῆς (VIII.), περιέχοντα μέρος Προφητολογίου.

5574. 68.
Περγ. 8 μικρ. (0,195×0,14). XII. (φ. 239).
Πραξαπόστολος.
Ἐν τέλει ἐν τέσσαρσι φύλλοις (Χαρτ. XVII.) "Περὶ διαφόρων τρόπων τοῦ πολέμου τοῦ (ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοὺς) ἐκ τοῦ διαβόλου πρὸς τοὺς ἐν τῇ στενῇ ὁδῷ τῇ ὑπερεχούσῃ τὸν κόσμον πορευομένους." Ἀρχ. Ἔχει ἔθος παλαιὸν ὁ διάβολος ὁ ἀντίπαλος ἡμῶν τοῖς ἐν τῷ ἀγῶνι τούτῳ κατιοῦσι μηχανικῶς διαιρεῖν τὰς πάλας αὐτοῦ κατ' αὐτῶν. Τέλ. οὐκέτι ἡττηθήσῃ ἐκ τοῦ ἐχθροῦ σου τοῦ ἀντικειμένου σοι· οὗτοι δύο τρόποι τῆς πάλης τοῦ διαβόλου. Ἐν τέλει δὲ τούτων· Βηβλήων τῆς μονῆς τῶν Ῥουσῶν.
Φύλλα περγαμηνῆς ἐν ἀρχῇ τοῦ κώδικος καὶ ἀλλαχοῦ ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων (Χαρτ. XVII.).

5575. 69.
Περγ. 8 μικρ. (0,18×0,14). XIV. (φ. 128).
Πραξαπόστολος.
Περιέχονται καὶ Τροπάρια καὶ Διατάξεις τοῦ ἐκκλησιαστικοῦ Τυπικοῦ.
Ἀκέφαλος καὶ κολοβός.

5576. 70.
Περγ. 64. (0,095×0,08). XIV. (φ. 162).
Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας.
Ἀκέφαλον καὶ κολοβόν. Ἀρχ...σῶσον ἡμᾶς υἱὲ Θεοῦ ὁ σαρκὸς σταυρωθείς.

5577. 71.
Περγ. 16. (0,145×0,105). XIII. (φ. 272).
Ὡρολόγιον.
Κατά τι σημείωμα τοῦ ΠΟΡΦΥΡΙΟΥ ΟΥΣΠΕΝΣΚΗ ὁ κῶδιξ ἀνήκει εἰς τὸν XII. αἰῶνα ἀρχόμενον, ἅτε λειπούσης ἐν αὐτῷ τῆς ἑορτῆς τῶν τριῶν ἱεραρχῶν. Ἀλλ' ἴδε τὰ σημειούμενά μοι ἐν ἀρ. 5507 (1).

*5578. 72.
Περγ. 64. (0,10×0,06). XV. (φ. 476).
1 (φ. 1 β). Ὡρολόγιον.
2 (φ. 358 α). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάνου** ἀρχιεπισκόπου Κωνσταντινουπόλεως **τοῦ Χρυσοστόμου** Λόγος περὶ ἀρετῆς καὶ κακίας."

Ἕπεται οὕτως ὑπὸ διαφόρους ἐπιγραφὰς ἀνθολογία ἐκ τῶν Λόγων Ἰωάννου τοῦ Χρυσοστόμου.

3 (φ. 405 α). "Τοῦ παναγιωτάτου πατριάρχου κυρίου Γενναδίου."

Ἀρχ. Θεὲ ὑπεράγιε δημιουργὲ οὐρανοῦ καὶ γῆς.

4 (φ. 417 β). "Περὶ τῶν ζ′ μυστηρίων τῆς ἐκκλησίας."

Ἀρχ. Πρῶτον μυστήριον τῆς ἐκκλησίας καὶ ὥσπερ θύρα πάντων τῶν μυστηρίων ἐστὶ τὸ βάπτισμα.

5 (φ. 418 α). "Περὶ τῶν ϛ′ θανασίμων ἁμαρτημάτων."

6 (φ. 418 β). "Περὶ τῶν τῆς ὑπεριφανείας βαθμῶν."

7 (φ. 419 β). "Πόσα ζητοῦντε πρὸς τὸ μυστήριον τῆς εὐχαριστίας."

8 (φ. 420 α). "Πόσοι τρόποι τῆς μετανοίας ζ′."

9 (φ. 420 β). "Κατὰ πόσους τρόπους ἡ ἁμαρτία παρ' ἡμῶν ἐνεργεῖται ὅτι κατα η′."

10 (φ. 421 α). "Τὰ ιε′ ἄρθρα τῆς πίστεως."

11 (φ. 421 β). "Πατέρων" Ὕμνος εἰς τὴν Θεοτόκον.

Ἀρχ. Ὦ βασιλέων ἔκγονε.

12 (φ. 427 β). Στιχηρὰ ἐκ τῆς ἀκολουθίας τοῦ γενεσίου τῆς Θεοτόκου.

13 (φ. 429 β). Στιχηρὰ ἐκ τῆς ἀκολουθίας τῆς κοιμήσεως τῆς Θεοτόκου.

14 (φ. 432 α). Πασχάλια τῶν ἐτῶν ͵ϛϡοη′—͵ζ′.

15 (φ. 441 α). "Αἱ ἑορταὶ ἐπίσημαι τοῦ ὅλου χρόνου."

16 (φ. 448 α). "Μέθοδος τοῦ εὑρίσκειν τοὺς κύκλους καὶ τὰ θεμέλια τῆς σελήνης καὶ τοῦ ἡλίου καὶ τὰς ἀρχὰς τῶν μηνῶν καὶ τὰς ἐπακτὰς αὐτῶν."

17 (φ. 452 β). "Περὶ ἄνδρας."

Ἀρχ. Πᾶσιν ἄρεσκε. Καλὸν ἡσυχία. Ἐπισφαλὲς προπέτεια. Κέρδος αἰσχρὸν φύσεως κατηγορία. Τέλ. ἐπὶ νεκρῷ μὴ γέλα. Φίλοις χρῶ. Συμβούλευε ἀναιτίως. Εὔφρενε φίλους.

18 (φ. 454 α). Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Ἀρχ. "Βίας." Εἰς κάτοπτρον, ἐμβλέψας θεώρει καὶ εἰ μὲν καλὸς φαίνει, ἄξια τούτου πράττε.—φ. 455 α· "Πιτακός." Ὃ μέλεις ποιεῖν μὴ προὔλεγε.—φ. 455 α· "Θαλῆς." Φίλων παρόντων καὶ ἀπόντων μεμνήσει.

19 (φ. 458 α). "Γαλϊνοῦ γνώμη."

Ἀρχ. Ὁ γὰρ ουκ εβούλοιτο τοῦτο οὐκ οετο.

20 (φ. 461 β). Δοξαστικὰ ἐκ τῆς ἀκολουθίας διαφόρων ἁγίων.

Κοσμεῖται ὑπὸ ἀκόμψων ἀρχικῶν γραμμάτων.

Ἐν ἀρχῇ ἑπτὰ φύλλα μὴ συνηριθμημένα, ὧν ἐν φ. 1 β "Χρονικὸν συνοπτικὸν ἀπὸ κτίσεως κόσμου." Ἐξικνεῖται δὲ ἀπὸ Ἀδὰμ μέχρις Ἰωάννου τοῦ Παλαιολόγου, προστεθέντος εἶτα ὑπὸ χειρὸς νεωτέρας καὶ Κωνσταντίνου τοῦ Παλαιολόγου.

5579. 73.

Περγ. 8 μικρ. (0,19×0,145). XIII. (φ. 280).

Θεοτοκάριον.

Ἐν τέλει ὄνομα τοῦ κτήτορος τοῦ βιβλίου· Ἀθανάσιος καὶ τάχα μοναχός.

Ἐν ἀρχῇ καὶ τέλει ἀνὰ δύο φύλλα (Χαρτ. XVI.) περιέχοντα τὴν Ἀκολουθίαν τοῦ μικροῦ ἁγιασμοῦ.

***5580. 74.**

Περγ. 8 μικρ. (0,197×0,15). XIV. (φ. 129).

1 (φ. 1 α). Τροπάριον τοῦ ἁγίου Ἀντωνίου.

2 (φ. 2 α). Βίος Ἀντωνίου τοῦ μεγάλου.

Ἀρχ. (ἀκέφ.)·...ἄφρων γένωμαι· ἀλλ' οἶδεν ὁ ἀκούων Κύριος τὸ τοῦ συνειδότος καθαρόν.

3 (φ. 55 α). Ἀκολουθία Ἀντωνίου τοῦ μεγάλου.

Ἐν φ. 1 β κάτωθεν ἀσημάντου ἐπιτίτλου κοσμήματος· Βίβλος τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου· μετοχίου τῆς Λάβρας τῆς ἐν τῷ Ἄθω ἀνακειμένης· ὅστις δὲ ἄρῃ αὐτὸ ἀπὸ τὸ αὐτὸν μετόχιον νὰ σχῇ τὰς ἀρὰς πάντων τῶν Ἁγιορειτῶν πατέρων· εὕρῃ δὲ καὶ τὸν μέγαν Ἀντώνιον ἀντίδικον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ἐγράφη δὲ καὶ ἐπεδόθη παρ' ἐμοῦ Ἰωσὴφ τοῦ ἁμαρτωλοῦ τάχα καὶ μοναχοῦ ἐν ἔτει ͵ϛωλβ′ ἰνδ. ζ′ μηνὶ Αὐγούστου ιε′ (=1324). Μετὰ δὲ τὴν σημείωσιν ταύτην ἑτέρᾳ χειρὶ νεωτέρᾳ· ᾳτκδ′ ἐπὶ βασιλείας Ἀνδρονίκου τοῦ Παλαιολόγου. Ἐν φ. 54 β· Τὸ παρὸν βιβλιδόπουλον ἐγράφη παρ' ἐμοῦ Ἰωσὴφ τοῦ ἁμαρτωλοῦ τάχα καὶ μοναχοῦ ἐν ἔτῃ ἱσταμένῳ ἀπὸ κτίσεως κόσμου ͵ϛωλβ′ ἰνδικτιῶνος ζ′ ἐν μηνὶ Αὐγούστῳ ιε′ (=1324) καὶ οἱ ἐντυγχάνοντες αὐτὸ εὔχεσθαι καὶ ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ πατέρες ἅγιοι διὰ τὸν Κύριον.

Ἐν δὲ φ. 129 β· Ἐκοιμήθη ὁ ἁγιώτατός μου πατὴρ πνευματικὸς κῦρ Ἀθανάσιος ἱερομόναχος ὁ καὶ κτίτωρ τῆς μονῆς τοῦ μεγάλου Ἀντωνίου τοῦ ἐν τῷ ἁγίῳ Ὄρει ͵ϛωλβ′ ἰνδ. ζ′ μηνὶ Ἰουλίῳ ι′ ἡμέρᾳ γ′ ὥρᾳ ϛ′.

5581. 75.

Περγ. 8. (0,20×0,16). XII. (φ. 8).

Μέρος τῆς βίβλου Ἀναστασίου Σιναΐτου.

Ἀρχ. (ἀκέφ.)...θεοσεβείας ἐκπίπτει μετὰ τῆς λεγούσης ἀποφάσεως. Τέλ. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτικὴ ἐὰν εἰς κακόσιτον ἐμπέσῃ πάντα ἀπόλλυσι καὶ διαφθείρῃ καὶ γίνεται νόσου ἀδελφή.

5582. 76.

Περγ. 8. (0,20×0,16). XI. (φ. 225).

1 (φ. 3 α). Ἀββᾶ Δωροθέου Ἐπιστολὴ πρὸς ἀδελφόν.

2 (φ. 17 α). Τοῦ αὐτοῦ Διδασκαλίαι διάφοροι πρὸς τοὺς μαθητάς.

3 (φ. 200 α). Ἐπιφανίου Κύπρου Εἰς τὴν ταφὴν τοῦ Χριστοῦ.

4 (φ. 213 β). "Στίχοι τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ μητρός."

5 (φ. 214 α). Ἰωάννου τοῦ Χρυσοστόμου Εἰς τὸ Πάσχα (κολ.).

Ἐν φ. 1—2 Πίναξ τῶν ἐν τῇ Δ′ βίβλῳ περιεχομένων.

5583. 77.

Περγ. 16. (0,155×0,137). XI. (φ. 43).

Εὐχολόγιον.

Ἀκέφαλον καὶ κολοβόν.

5584. 78.
Περγ. 8. (0,212×0,16). XII. (φ. 294).
Στιχηράριον (ἀκέφαλον).

5585. 79.
Περγ. 8 μέγ. (0,23×0,187). XII. (φ. 162).
Βίος Νίφωνος ἀρχιεπισκόπου Κωνσταντίας Κύπρου.

Ἀρχ. Μυστήριον βασιλέως καλὸν κρύπτειν (;), τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν ἔνδοξον· τῷ δε εἰδότι αὐτὰ τὰ θεῖα ἔργα καὶ διηγουμένῳ. Τέλ. σὺ γὰρ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ τοῦτο εἰπὼν παρέδωκε τὸ πνεῦμα· ὡς οὖν ἐτελειώθην ὁ ὅσιος ἤρξαντο πάντες θρινὴν πικρῶς ἐπὶ τῇ στερίσει τοῦ διδασκάλου. Ἴδε καὶ Систематическое описаніе рукописей московской синодальной (патріаршей) библіотеки. составилъ Архимандритъ Владиміръ. Часть первая рукописи греческія. Москва. Синодальная Типографія. 1894. ἀρ. κώδ. 401.

5586. 80.
Περγ. 8. (0,234×0,182). XIII. (φ. 172).
Μηναῖον Ἰουνίου.

5587. 81.
Περγ. 8. (0,233×0,17). XIV. (φ. 8).
Πασχάλιον

μετὰ καὶ Βροντολογίου, Χιονολογίου, Ὀμβρολογίου, Σεισμολογίου καὶ τῶν οἰκείων Πινάκων καὶ ἐπεξηγήσεων.

Κῶδιξ ἀκέφαλος καὶ κολοβός.

*5588. 82. Περγ. XIV.
Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

Ἐν τέλει· Θεοῦ τὸ δῶρον καὶ πόνος Ἰωάννου ἔτους ,ϛωξη' ἰνδ. ΙΔ' (=1360).

Ἐν μεγάλῳ ἐπιτίτλῳ κοσμήματι εἰκὼν ἐν πολλοῖς ἐξίτηλος, παριστῶσα πιθανῶς τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον. Πρὸς δὲ κοσμεῖται ὁ κῶδιξ καὶ ὑπὸ κομψοῦ ἀρχικοῦ γράμματος.

Εἰλητάριον, γεγραμμένον κατ' ἄμφω τὰς ὄψεις, μήκους μ. 3, 95, πλάτους 0, 23, πλάτους ἐν τῷ γεγραμμένῳ μέρει 0, 123.

*5589. 83. Περγ. XIV.
Ἰωάννου τοῦ Χρυσοστόμου Λειτουργία.

Ὅλη ἡ Εὐχὴ τῆς προθέσεως γέγραπται κεφαλαίοις γράμμασι χρυσοῖς.

Κοσμεῖται ὑπὸ ἀρχικοῦ γράμματος κομψοῦ, εἶχε δ' ἄλλοτε καὶ ἐπίτιτλον, ἀποκεκομμένον τὰ νῦν.

Εἰλητάριον μήκους μ. 6, 94, πλάτους 0, 205, πλάτους ἐν τῷ γεγραμμένῳ μέρει 0, 12.

5590. 84. Περγ. XIV.
Φάκελος

ἐν ᾧ περιέχεται ἓν μόνον φύλλον, ἀπόσπασμα Εἰλησταρίου, περιέχοντος **Ἰωάννου τοῦ Χρυσοστόμου** Λειτουργίαν.

Ἐν τῇ ᾤᾳ Δεήσεις ὀνομάτων ἐν τῇ ἐκκλησίᾳ μνημονευομένων, ἰδίᾳ μοναχῶν, χειρὶ νεωτέρᾳ.

*5591. 85.
Περγ. φύλλ. (0,425×0,308). XI. σελ. 2. (φ. 391).
Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι εἰς τὴν βίβλον τῆς Γενέσεως ξζ'.

Τὸ φ. 147 ἐσχισμένον καθέτως κατὰ τὸ δεξιὸν ἥμισυ. Τοῦ φ. 391 τὸ πλεῖστον ἀπεσχισμένον. Τὰ δὲ φ. 104—108 καὶ 149—159 ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ νεωτέρων (Βομβ. XIV.). Ἐν τῷ μεταξὺ λείπουσί τινα φύλλα.

Κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων.

5592. 86.
Περγ. φύλλ. (0,30×0,23). XI. σελ. 2. (φ. 257).
Ἀπόστολος κατὰ τὰς ἀναγνώσεις.

Ἄρχεται ἀπὸ τῶν Προκειμένων, λείποντος τοῦ πρώτου φύλλου. Λείπουσι δὲ καὶ τὰ τελευταῖα φύλλα.

Ἐν τέλει συνηριθμένα παράφυλλα ἐξ ἄλλου κώδικος (Περγ. X. σελ. 2), ἐν οἷς Ἑρμηνεία εἰς τὴν Ἀποκάλυψιν **Ἰωάννου τοῦ Θεολόγου.**

Τὴν περιγραφὴν τοῦ κώδικος τούτου, λείποντος ἐκ τῆς βιβλιοθήκης κατὰ τὸν χρόνον τῆς ἐν τῇ μονῇ ἐμῆς διατριβῆς, παρέλαβον παρὰ τοῦ βιβλιοθηκαρίου πατρὸς Ματθαίου.

*5593. 87.
Περγ. φύλλ. (0,38×0,287). XI. σελ. 2. (φ. 323).

1 (φ. 1 α). **Ἀδήλου** Λόγος.

Ἀρχ. (ἀκέφ.)·...τοῦ σώματος· νενέκρωμαι τοῖς παραπτώμασιν συγγεκλεισμένην ἔχωμεν τῷ σώματι τὴν ψυχὴν καθὼς ἔσχεν ὁ τάφος τὸν Λάζαρον.

2 (φ. 2 α). **Ἰωάννου τοῦ Χρυσοστόμου** Εἰς τὸν ἄσωτον υἱόν.

3 (φ. 8 β). **Ἰωάννου τοῦ Δαμασκηνοῦ** Περὶ τῶν ἐν πίστει κεκοιμημένων.

4 (φ. 18 β). **Ἱππολύτου** Περὶ τῆς συντελείας τοῦ κόσμου.

5 (φ. 36 β). **Γρηγορίου Νύσσης**

"Εἰς τὴν παρείσβασιν τῶν ἁγίων νηστειῶν."

6 (φ. 45 β). **Βασιλείου τοῦ μεγάλου** Περὶ νηστείας.

7 (φ. 53 α). **Τοῦ αὐτοῦ** Ἕτερος λόγος περὶ νηστείας.

8 (φ. 59 β). **Ἀναστασίου τοῦ Σιναΐτου**

"Ὁμιλία εἰς τὸν ϛ' Ψαλμὸν καὶ περὶ μετανοίας."

9 (φ. 71 α). **Νεκταρίου Κωνσταντινουπόλεως**

" Διήγησις δι' ἣν αἰτίαν ἑορτάζομεν τῷ πρώτῳ Σαββάτῳ τῶν νηστειῶν τὴν μνήμην τοῦ ἁγίου Θεοδώρου καὶ περὶ νηστείας καὶ ἐλεημοσύνης."

10 (φ. 79 β). Διήγησις περὶ τῶν ἁγίων εἰκόνων.

Ἀρχ. Τοῦ βασιλέως Θεοφίλου.

11 (φ. 89 β). **Ἀναστασίου τοῦ Σιναΐτου**

Λόγος περὶ τῆς ἁγίας Συνάξεως καὶ περὶ τοῦ μὴ κρίνειν καὶ μὴ μνησικακεῖν.

12 (φ. 99 α). **Ἰωάννου τοῦ Χρυσοστόμου**

Λόγος ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

13 (φ. 108 β). Βίος Ἰακώβου μοναχοῦ.

14 (φ. 118 β). **Ἰωάννου τοῦ Χρυσοστόμου**

Περὶ νηστείας καὶ εἰς τὸ Χαίρετε ἐν Κυρίῳ πάντοτε.

15 (φ. 127 α). **Σωφρονίου Ἱεροσολύμων**

Εἰς τὸν βίον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας.

16 (φ. 127 α). **Ἰωάννου τοῦ Χρυσοστόμου**

Λόγος ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

17 (φ. 165 α). **Ἀνδρέου Κρήτης Εἰς τὰ Βαΐα.**

18 (φ. 180 α). **Ἰωάννου τοῦ Χρυσοστόμου Λόγοι.**

αʹ (φ. 180 α). Εἰς τὴν ἐπιγραφὴν τοῦ νʹ Ψαλμοῦ καὶ περὶ μετανοίας καὶ εἰς τὸν Δαβίδ.—βʹ (φ. 193 α). Εἰς τὸν Λάζαρον.—γʹ–ιζʹ. Ὁμιλίαι ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, ὧν ἡ ἀρχὴ ἐν φ. 204 α, 221 α, 231 α, 238 α, 245 β, 260 β, 269 α, 275 α, 281 β, 288 β, 294 β, 301 α, 308 α, 315 α.—ιηʹ (φ. 320 α). Εἰς τὸν Εὐαγγελισμόν.

Ἐν φ. 4 α χειρὶ XVII. αἰῶνος· *Τὸ παρὸν περικαλλὲς βιβλίον ὑπάρχει τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν.* Ἐν δὲ φ. 321 β ὁμοίως χειρὶ XVII. αἰῶνος· *Ἡ παροῦσα περικαλλὴς βίβλος ὑπάρχει τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν ὥστις βουλιθη εξόσε ἔξ αυτῆς εχέτο τας αρὰς τὸν ἅγιον μεγάλον μαρτύρων Θεοδώρων.*

Τὰ φ. 1—2 καὶ 11—15 νεώτερα (Χαρτ. XVII.), ὧν ὁ βιβλιογράφος δηλοῦται ἐν φ. 15 α διὰ τῶνδε· *Χεὶρ Δημητρίου ἐν ἔτους ,ζρνʹ* (=1642). Πολλαχοῦ δὲ τοῦ κώδικος λείπουσι φύλλα.

Κοσμεῖται ἐν ἀρχῇ ἑκάστου λόγου ὑπὸ ἐπιτίτλων καὶ κομψῶν ἀρχικῶν γραμμάτων. Ἐν τούτοις ἄξια ἰδίας μνείας τὰ Ω τῶν φ. 71 α καὶ 294 β, ἅτε τοῦ γράμματος τούτου σπανίως εὑρισκομένου ἐν ἀρχῇ.

***5594. 88.**

Περγ. φύλλ. (0,32 × 0,23). XIII. σελ. 2. (φ. 211).

Συμεὼν τοῦ Μεταφραστοῦ Βίοι ἁγίων Δεκεμβρίου δʹ—ιγʹ.

Ἐν ἀρχῇ ἐν τῷ παραφύλλῳ· *Μεταφραστῆς σὺν Θεῷ ἁγίῳ τῆς ἱερᾶς Νέας μονῆς, ἡ τιμομένη καὶ σεβομένη ἐπ' ὀνόματι τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Κοιμήσεως αὐτῆς, ἀνακαινίσθη οὖν ἡ τοιαύτη βίβλος μετὰ καὶ μεθ' ἑτέρων βιβλίων τῆς αὐτῆς μονῆς τῶν ἀριθμῶν εἴκοσι παρὰ τοῦ πανοσιοτάτου ἐν ἱερομονάχοις καὶ καθηγουμένου τῆς αὐτῆς μονῆς κυροῦ Μακαρίου καὶ πρωτοσυγγέλου πατριαρχικοῦ, τῷ ὄντι γέννημα καὶ θρέμα Θεσσαλονικεὺς τυγχάνων ἐν ἔτει ,ζξδῳ ἰνδ. ιδης* (=1556).

Τὰ φ. 1—48, 53—54 καὶ 210 νεώτερα (Χαρτ. XVI.).

Κοσμεῖται ὑπὸ ἐπιτίτλων ἀτέχνων.

5595. 89.

Περγ. 8 μέγ. (0,243 × 0,18). XIV. (φ. 46).

Μηναῖον Σεπτεμβρίου ι—καʹ.

Ἀκέφαλον καὶ κολοβόν.

5596. 90.

Περγ. φύλλ. (0,29 × 0,22). XIII. σελ. 2. (φ. 65).

Συναξάριον Σεπτεμβρίου—Νοεμβρίου.

Κῶδιξ ἀκέφαλος, κολοβὸς καὶ ἐλλιπής.

Ἐν φ. 50 καὶ 51 "*Ἐρωτήσεις καὶ ἀποκρίσεις διάφοροι ὠφέλιμοι περὶ...(ἐξίτηλα) ἴσως φαινόμεναι, τεθεῖσαι δὲ διὰ τὸ εὑρεθῆναι.*" Αἱ Ἐρωτήσεις αὗται καὶ ἀποκρίσεις **Βασιλείου τοῦ μεγάλου** καὶ **Γρηγορίου τοῦ Θεολόγου** ἐδημοσιεύθησαν ἐκ τοῦ κώδικος τούτου ἐν Ὀδησσῷ τῷ 1890 ὑπὸ Ν. Θ. ΚΡΑΣΝΟΣΕΛΤΣΕΦ.

Къ вопросу о греческихъ источникахъ „Бесѣдві трехъ святителей." Экстра-ординарн. профессора Императорскаго Новороссійскаго Университета Н. Θ. Красносельцева.

Ὁ κῶδιξ ἔφθαρται μεγάλως ὑφ' ὑγρασίας.

5597. 91.

Περγ. 8. (0,235 × 0,182). XIV. (φ. 72).

Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ Γερμανοῦ Κωνσταντινουπόλεως

Λόγοι πανηγυρικοὶ εἰς ἑορτὰς καὶ ἁγίους.

Κῶδιξ ἀκέφαλος καὶ μεγάλως ἐφθαρμένος ὑφ' ὑγρασίας.

5598. 92.

Περγ. Χαρτ. 8. (0,23 × 0,15). XV. (φ. 126).

1 (φ. 1 α). **Ἀδήλου (Ἰωάννου τοῦ Χρυσοστόμου;).**

Ἀρχ. (ἀκέφ.)...*ἀπενεχθῆναι πάντας ὁμοῦ εἰς τὴν λίμνην ἔχουσαν ὕδωρ πολύ.*

2 (φ. 3 β). **Ἰωάννου τοῦ Χρυσοστόμου**

αʹ (φ. 3 β). Εἰς τὸν Εὐαγγελισμόν.—βʹ (φ. 7 α). Εἰς τὸν τετραήμερον Λάζαρον.—γʹ (φ. 9 β) Εἰς τὰ Βαΐα.—δʹ (φ. 14 β). Εἰς τὸν μακάριον Ἰὼβ καὶ τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ.—εʹ (φ. 18 β). Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα.

3 (φ. 22 β). **"Διήγησις διαλαμβάνουσα**

περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καὶ ὅπως καὶ δι' ἣν αἰτίαν παρέλαβεν τὴν ὀρθοδοξίαν τελεῖν τῇ πρώτῃ Κυριακῇ τῶν ἁγίων νηστειῶν, ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ μεγάλη ἐκκλησία."

Ἀρχ. *Τοῦ βασιλέως Θεοφίλου κατα συγχώρησιν Θεοῦ κατ' ἐκείνω καιρῶ τὴν αὐτοκρατορικὴν διέποντος ἀρχήν.*

4 (φ. 28 α). **Ὠδαὶ ἐκκλησιαστικαί.**

5 (φ. 36 α). **Ἀδήλου Λόγος εἰς τὴν Θεοτόκον**

ἐπὶ τῇ ἀπὸ τῶν Ἀβάρων διασώσει τῆς Κωνσταντινουπόλεως.

Ἀρχ. (ἀκέφ.)...*καὶ τοῦ στρατιώτου, φθάσας εἰς Καλχιδόνα, τίθεται λοιπὸν ἐπ' αὐτῆς χάρακα· καὶ πάντα τὰ πρὸς πολιορκίαν ταύτης τῆς μεγαλοπόλεως ἐξευτρεπίζει· τοῦτο γὰρ αὐτῷ καὶ βεβούλευτο· καὶ τρόπῳ παντὶ ἐσπουδάζιτο· ταῦτα ὁρῶν Ἡράκλειος μετὰ τὸν τυραννήσαντα Φωκὰν, ἄρτι τῆς βασιλείας ἐπιλημένος σφόδρα περιαλγὴς καὶ κατώδηνος γεγονὼς· λοιπὼν τὰ βασίλεια, δια τοῦ Εὐξείνου πόντου συναγαγὼν τὰς ἔτι περιοῦσας τῶν στρατευμάτων δυνάμεις, ἀθρόως οὐδὲν προμαθόντων τῶν ἐν Περσίδει τῇ χώρᾳ προσβάλει· γνοὺς δὲ τὴν ἐκστρατείαν τοῦ βασιλέως ὁ Σκύθης χαγάνος, εὐθὺς εἴχετο ἔργου.* Τέλ. *καὶ γαλήνην καὶ εἰρήνην βράβευσον τοῖς ἱκέταις σου· ἵνα ταῖς πολλαῖς εὐεργεσίαις πρόστεθήσης καὶ ταύτης, ἀνακηρύττωμεν διὰ παντὸς τὰ σὰ τεράστεια· ἀλλ' ἐνταῦθα γενόμενοι καὶ τὰ ἱστεία τοῦ λόγου χαλάσαντες, εἰς τὸν ἀσφαλῆ τῆς σιωπῆς ὁρμήσομεν λιμένα· ἐκείνω πάλιν τοὺς συνηλεγμένους ἀναμνήσαντες μὴ ἀγνῶμον φανῆναι περὶ τὴν εὐεργέτην καὶ δέσποιναν· μηδὲ διὰ τῶν ἔργων εὐεργετούμενοι, ὀκνεῖν τὴν διὰ τῶν λόγων εὐχαριστεῖαν προσφέρειν· καὶ γὰρ πάλιν εἰς ἡμᾶς τὸ κέρδος ἐπάνησι, εὐχάριστοι γενόμεθα μεγάλην ἑαυτοῖς πρὸς τὰ μέλλοντα εὐτρεπήσωμεν παρρησίαν· καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐπιτύχομεν χάρητι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.*

Ἴδε καὶ 5690 (183), 5.

6 (φ. 53 β). **Γρηγορίου Νεοκαισαρείας**
Εἰς τὸν Εὐαγγελισμόν.
7 (φ. 66 α). **Ἀνδρέου Κρήτης** Εἰς τὴν Κοίμησιν.
8 (φ. 82 β). **Ἰωάννου τοῦ Δαμασκηνοῦ**
Εἰς τὸ γενέσιον τῆς Θεοτόκου.
9 (φ. 92 β). **Γεωργίου χαρτοφύλακος τῆς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας** *Εἰς τὴν Θεοτόκον.*
10 (φ. 117 α). **Γερμανοῦ Κωνσταντινουπόλεως**
Εἰς τὰ Εἰσόδια.

Ἐν φ. 126 β ἄλλῃ χειρὶ γέγραπται ἡ σημείωσις ἥδε· Παμμεδέοντι σὺν Θεῷ υἱέϊ Πνεύματι ἰνδ. η΄ ἰνδ. η΄ Ἰωάννης ἱερομόναχος ὁ καὶ λεγώμενος Παλούμπης ὁ ἐκ Μορέαν ἔτει ,ζογ΄ ἰνδ. η΄. Ἐν δὲ φ. 81 β ἄλλῃ χειρί· Ἐν ἔτει ,ζογ^ῳ δ εὐγήκα ἀπὸ τὸν Παντοκράτορα ἐγὼ Ἰωσὴφ ὁ ἐκ Μορέας καὶ ἔκαμα εἰς τὸν πήργον ἤγουν εἰς τὸν ναὸν τῆς ὑπεραγίας. Ἕπεται ἀναξία λόγου σημείωσις περὶ κτήσεως βιβλίων.

Τὰ *φ.* 28—126 *ἐκπεσόντα ἀνεπληρώθησαν ὑπὸ χαρτῴων* (XVI.).

*5599. 93.
Περγ. *φύλλ.* (0,375 × 0,28). XI. *σελ.* 2. (*φ.* 40).
Ἰωάννου τοῦ Χρυσοστόμου Ὁμιλίαι
εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον (ξβ΄—οϛ΄).

Ἀκέφαλος, κολοβός, ἐλλιπὴς πολλῶν φύλλων ἐν τῷ μέσῳ. Ἡ ξβ΄ Ὁμιλία ἄρχ. (ἀκέφ.)·...ἀποκρίνεται· οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Τῆς δὲ οϛ΄ τέλος (κολ.)· δεικνὺς ὅτι οὐ πολὺ τὸ μέσον· ἀλλ' ἐφέξῆς καὶ ἡ παρουσία ἀπαντήσεται· ὅπερ οὖν οὐ διὰ τῆς παραβολῆς...

Κοσμεῖται ὑπὸ κομψῶν ἐπιτίτλων ὕπερθεν ἑκάστης Ὁμιλίας καὶ ὑπ' ἀτέχνων μονοχρώμων ἐρυθρῶν ἀρχικῶν γράμμάτων.

5600. 94. Περγ. XI.—XIV.
Φάκελος
περιέχων σπαράγματα διαφόρων κωδίκων, ἐν οἷς περιελαμβάνοντο **Ἰωάννου τοῦ Χρυσοστόμου** Λόγοι.

5601. 95. Περγ. IX.—XIV.
Φάκελος
περιέχων σπαράγματα διαφόρων κωδίκων περιλαμβανόντων τὴν Παλαιὰν Διαθήκην. Ἐν αὐτοῖς δὲ καὶ τρία φύλλα τοῦ μεγαλογραμμάτου ῥυθμοῦ (Περγ. IX. σελ. 2), περιέχοντα μέρη Προφητολογίου. Τέσσαρα δὲ ἄλλα φύλλα (Περγ. XIV.) περιέχουσι μέρη τῶν Ἰουδαϊκῶν ἀρχαιοτήτων τοῦ **Φλαβίου Ἰωσήπου** (Βασιλειῶν Α΄ κεφ. 29—31, Β΄ κεφ. 2 τέλ. καὶ 3 ἀρχ.).

*5602. 96. Περγ. VII., VIII. *σελ.* 2.
Φάκελος
περιέχων φύλλα ἑπτὰ τοῦ μεγαλογραμμάτου ῥυθμοῦ διαφόρων κωδίκων, ἐν οἷς περιλαμβάνονται μέρη Εὐαγγελίων μετὰ σημαδοφώνων, κοσμούμενα ὑπ' ἀτέχνων ἀρχικῶν γραμμάτων.

*5603. 97. Περγ. XI.—XIV.
Φάκελος
περιέχων σπαράγματα διαφόρων κωδίκων Εὐαγγελίων μετὰ σημαδοφώνων, τῶν πλείστων κατὰ δύο σελίδας.

Τινὰ τῶν φύλλων κοσμοῦνται ὑπὸ ἐπιτίτλων καὶ ἀρχικῶν γραμμάτων.

5604. 98. Περγ. XI.—XIV.
Φάκελος
περιέχων σπαράγματα διαφόρων κωδίκων περιλαμβανόντων Πραξαποστόλους.

Τινὰ φύλλα γεγραμμένα κατὰ δύο σελίδας.

5605. 99.
Περγ. *φύλλ.* (0,35 × 0,25). XI. (*φ.* 6).
Βασιλείου τοῦ μεγάλου Λόγων μέρη.

*5606. 100. Περγ. XI.—XIII.
Φάκελος
ἕνδεκα φύλλων περιεχόντων μέρη Βίων Σαμωνᾶ, Γουρία καὶ Ἀβίβου ὑπὸ **Συμεὼν τοῦ Μεταφραστοῦ.**

Κοσμεῖται ἓν τῶν φύλλων ὑπὸ ἐπιτίτλου εἰκόνος τῶν ἁγίων Σαμωνᾶ, Γουρία καὶ Ἀβίβου.

5607. 101.
Χαρτ. 8 *μικρ.* (0,195 × 0,115). XIV. (*φ.* 223).
Τετραευάγγελον.

α΄ (φ. 1 α). Εὐαγγέλιον Ματθαίου. *Ἄρχ. (ἀκέφ.)·...τῷ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτως γέγραπται διὰ τοῦ προφήτου· καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα.*—β΄ (φ. 61 β). Πίναξ τῶν κεφαλαίων Ματθαίου.—γ΄ (φ. 64 α). Εὐαγγέλιον Μάρκου.—δ΄ (φ. 104 α). Πίναξ κεφαλαίων Μάρκου.—ε΄ (φ. 107 α). Εὐαγγέλιον Λουκᾶ.—ϛ΄ (φ. 171 β). Πίναξ κεφαλαίων Λουκᾶ.—ζ΄ (φ. 172 β). Εὐαγγέλιον Ἰωάννου. Τέλ. (κολ.)· *ὅτε ἦς νεώτερος ἐζώννυες σεαυτὸν καὶ περιεπάτης ὅπου ἤθελες ὅτ' ἂν δὲ γηράσῃς* (Ἰωάνν. 21, 18).

Ἐν φ. 63 α σημείωμα χειρὸς νεωτέρας μετὰ πολλῶν ἀνορθογραφιῶν περὶ Νικάνδρου προηγουμένου τῆς μονῆς Ἐσφιγμένου ὡς δωρησαμένου τὴν βίβλον τῷ ἀνεψιῷ παπᾷ Θεοδώρῳ.

Ἐν δὲ φ. 105 β χειρὶ μεταγενεστέρᾳ ἐν τῇ ᾤᾳ· Ἔτους ζωοδ ἰνδ. δ΄ ἐχηροτονίθὴ τέλησς ἱερεὺς Κόσμὰς ηερομονάχός.

5608. 102.
Χαρτ. 8. (0,21 × 0,15). XV. (*φ.* 286).
Εὐαγγέλιον.

Τὸ *φ.* 285 *ἄγραφον.*

5609. 103.
Χαρτ. 8. (0,22 × 0,16). XVI. (*φ.* 140).
Ἀπόστολος κατὰ τὰς ἀναγνώσεις.

5610. 104.
Χαρτ. 8. (0,20 × 0,16). XVI. (*φ.* 269).
Πραξαπόστολος.

5611. 105.
Χαρτ. 8. (0,20 × 0,15). XV. (*φ.* 262).

1 (φ. 1 α). Πράξεις Ἀποστόλων κατὰ τὰς ἀναγνώσεις (ἀκέφ.).
2 (φ. 38 β). Ἐπιστολαὶ **Ἀποστόλων** κατὰ τὰς ἀναγνώσεις.
3 (φ. 211 α). Μηνολόγιον τῶν Ἐπιστολῶν
ἀπὸ τῆς ἀρχῆς τῆς ἰνδίκτου.

5612. 106.

Χαρτ. 8. (0,22×0,145). XV. (φ. 188).

Πραξαπόστολος.

5613. 107.

Χαρτ. 8. (0,22×0,14). XVI. (φ. 144).

Πραξαπόστολος.

Ἐν φ. 144β· "Ἔτους ,ζνε΄ 7055 (=1547).

Αἱ δεξιαὶ γωνίαι τῶν τριῶν πρώτων φύλλων κατά τι ἐφθαρμέναι.

5614. 108.

Χαρτ. 8. (0,21×0,16). XVIII. (φ. 75).

"Αἱ περίοδοι τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου συγγραφεῖσαι παρὰ τοῦ ἁγίου **Προχόρου**, ἑνὸς τῶν ἑπτὰ διακόνων."

*5615. 109.

Χαρτ. 8. (0,23×0,152). XVI. (φ. 95).

"Περίοδοι ἤτοι θαύματα τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ συγγραφεῖσα παρὰ **Προχώρου** μαθητοῦ αὐτοῦ· ἑνὸς τῶν ἑπτὰ διακόνων καὶ ἀνεψιοῦ Στεφάνου τοῦ πρωτομάρτυρος."

Κοσμεῖται ἐν ἀρχῇ ὑπὸ ἐπιτίτλου πολυχρώμου.

5616. 110.

Χαρτ. 8. (0,215×0,155). XIX. (φ. 275).

1. "**Ἀνδρέου σοφοῦ ἀρχιεπισκόπου Καισαρείας** Καππαδοκίας καὶ ἑτέρων Ἑρμηνεία εἰς τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου."

Ἐν ἀρχῇ· Ἐν ἔτει σωτηρίῳ ͵αωμζ΄. 1847.

2. "Περὶ τῆς ἀπάτης τοῦ λαοπλάνου ἀντιχρίστου Μωάμεθ, καθὼς ἀπὸ ἀξιοπίστους ἱστορικοὺς εὕρομεν γεγραμμένα."

5617. 111.

Χαρτ. 8. (0,20×0,13). XVIII. (σ. 497).

1. "**Τοῦ ἁγίου Μακαρίου τοῦ Αἰγυπτίου** Λόγος ὅτι χρὴ τὸν ἄνθρωπον ποιῆσαι ἀποχὴν ἀφ' ὧν ἔπραξε κακῶν."

2. Ἐκ τῶν Ἐρωταποκρίσεων **τοῦ ὁσίου Βαρσανουφίου**.

3. "Περὶ ἀποταγῆς κόσμου τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν **Μελετίου ὁμολογητοῦ τοῦ νέου**, ἐκ τῆς διὰ στίχων αὐτοῦ βίβλου."

Στίχοι γεγραμμένοι τὸ πλεῖστον καταλογάδην.

4. **Ἀββᾶ Μωϋσέως** καὶ **Διαδόχου Φωτικῆς** Ἀποσπάσματα.

5. "Περὶ τῶν σημείων τῆς πλάνης καὶ τῆς χάριτος τοῦ πνεύματος ἐκ τοῦ βίου τοῦ ἁγίου Μαξίμου τοῦ Καυσοκαλύβη."

6. **Ἰωάννου τοῦ Χρυσοστόμου** Ἀποσπάσματα.

7. Διηγήσεις ἐκ **τοῦ Γεροντικοῦ**.

8. Ἀποσπάσματα **πατέρων**.

Εἰσὶ δὲ **Πέτρου τοῦ Δαμασκηνοῦ, Γρηγορίου τοῦ Σιναΐτου, τοῦ ἁγίου Φιλήμονος, τοῦ ὁσίου Ἡσαΐου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰσαὰκ τοῦ Σύρου, Ἀντιόχου τοῦ Πανδέκτου, Συμεὼν τοῦ νέου Θεολόγου** καὶ ἄλλων.

5618. 112.

Χαρτ. 8 μικρ. (0,195×0,14). XIX. (φ. 81).

1. "**Τοῦ ἀββᾶ Μακαρίου** Διήγησις μετὰ τοῦ ἀγγέλου."

2. "Ἐκ τῆς Θεωρίας **τοῦ ἁγίου Νήφωνος** περὶ τῆς δευτέρας παρουσίας διὰ τοὺς ἐπισκόπους καὶ μοναχούς."

3. "Διήγησις πάνυ ὠφέλιμος τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου."

4. "Προσευχὴ ὁποῦ ἠμπορεῖ νὰ γίνεται καθημερινὸν ἀπὸ κάθε Χριστιανὸν εἰς τὸν Θεὸν καὶ εἰς ὅλους τοὺς ἁγίους."

5. "**Τοῦ ἀββᾶ Ἰσαὰκ** Λόγος ὡραῖος πρὸς ἀρχαρίους μοναχούς, μεταφρασθεὶς πεζῇ γλώσσῃ παρὰ **Διονυσίου ἱερομονάχου** καὶ ῥήτορος καὶ πνευματικοῦ εἰς ὠφέλειαν ψυχικὴν καὶ σωματικήν."

6. "Περὶ τοῦ σφραγίσαντος τὸν δαίμονα μέσα εἰς τὸ σταμνίον."

7. "Λόγοι ψυχοφελεῖς ἐκ τῶν Θεωριῶν **τοῦ ἁγίου Νήμφωνος** περὶ τοῦ Σολομῶντος."

8. "Περὶ τῆς θείας λειτουργίας."

9. "Οὐκ ἐπαρκεῖ τῆς τρυφῆς τούτου τοῦ κόσμου, ἐὰν μή τις τὴν μακαρίαν ἄλλου τοῦ κόσμου λάβῃ, Ὁμιλία μθ΄."

Τὰ ὑπ' ἀρ. 5 καὶ 6 ἐν τῇ καθωμιλημένῃ. Τὸ δὲ ὑπ' ἀρ. 9 γέγραπται χειρὶ νεωτέρᾳ.

5619. 113.

Χαρτ. 8. (0,22×0,165). XVIII. (σ. 186).

Ἀποφθέγματα ἁγίων **γερόντων** κατὰ στοιχεῖον.

5620. 114.

Χαρτ. 8. (0,21×0,16). XV. (φ. 153).

1 (φ. 1α). "**Βαρσανουφίου** γέροντος ἀρχαίου τινὸς Νουθεσία ἀρίστη καὶ ὠφελιμωτάτη."

2 (φ. 13α). "Περὶ τῶν ἀνεκφράστων λογισμῶν τῆς βλασφημίας."

3 (φ. 14β). "Περὶ τῆς ἀκεφάλου ὑπερηφανίας ἐν ᾧ καὶ περὶ ἀκαθάρτων λογισμῶν τῆς βλασφημίας."

4 (φ. 17α). "Περὶ τῆς παμφήμου καὶ δεσποίνης πονηρᾶς γαστρός."

5 (φ. 22α). "**Τοῦ ἁγίου Στεφάνου τοῦ νέου** Ἐπιστολαὶ πρὸς τὸν αὐτοῦ μαθητήν."

6 (φ. 30α). "**Τοῦ ἁγίου Μακαρίου** Κεφάλεα πεπληρωμένα πάσης ὠφελείας."

7 (φ. 36β). "**Τοῦ ὁσίου** πατρὸς ἡμῶν **Νείλου** Περὶ προσευχῆς."

8 (φ. 45α). "**Τοῦ μακαρίου Μάρκου**."

9 (φ. 45α). "**Τοῦ ἀββᾶ Ἡσαΐου** Θρῆνος."

10 (φ. 47β). "**Τοῦ ἁγίου Ἐφραΐμ** Θρῆνος καὶ περὶ τῆς θείας ἀνταποδώσεως."

11 (φ. 49β). "**Τοῦ ἀββᾶ Ἰσαάκ**."

12 (φ. 50α). "Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάνου **τοῦ Δαμασκηνοῦ** Λόγος ψυχοφελὴς καὶ σωτήριος."

13 (φ. 54β). Διηγήσεις ἐκ **τοῦ Γεροντικοῦ** ἀνεπίγραφοι.

Ἀρχ. Ποτὲ τῷ ἀββᾷ Μακαρίῳ ἀπιόντι πρὸς τὴν βαθυτάτην ἔρημον.

14 (φ. 64 β). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νήφοντος καὶ ἐπισκόπου Κυλικίας ἐν ἀρχῇ τῆς ἐπισκοπῆς αὐτοῦ."

Ἀρχ. Μιᾷ τῶν ἡμερῶν ἐνόσω προσηύχετο ὑπὲρ τῆς ποίμνης αὐτοῦ.

15 (φ. 84 β). "Τοῦ ἁγίου **Ἐφραΐμ**."

16 (φ. 86 α). "Βίος καὶ πολιτία τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Ῥωμαίου τοῦ ἀπὸ εἴκοσι μιλίων τοῦ παραδείσου ἀσκήσαντος."

17 (φ. 95 α). "Βίος καὶ πολιτία τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου τοῦ Ἀθηναίου τοῦ ἀσκήσαντος ἐν τῷ ὄρει τῆς Θρᾴκης."

18 (φ. 102 β). "Βίος καὶ πολιτία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβίτου."

19 (φ. 109 α). "Ἐπιστολὴ ἀναφορὰ **Ποντίου Πιλάτου** ἡγεμόνος τῆς Ἰουδαίας πεμφθεῖσα πρὸς Τιβέριον Καίσαρα."

20 (φ. 117 α). "Βίος καὶ πολιτεία τοῦ ἁγίου Ἀλεξίου ἀνθρώπου τοῦ Θεοῦ ἐν τῇ πόλει Ῥώμης."

21 (φ. 124 α). Κανόνια πρὸς εὕρεσιν διαφόρων ἡμερῶν καὶ ἑορτῶν.

22 (φ. 124 α). Σημείωσις περὶ εὑρέσεως τοῦ κύκλου τοῦ ἡλίου.

Ἀρχ. Ὁπόταν ἀλισμονίσῃς τὸν κύκλον τοῦ ἡλίου μέρισον τὰ ἀπὸ κτήσεως κόσμου ἔτη ὑπὸ τῶν εἰκοσιοκτῶ.

23 (φ. 125 α). "Οἱ κύκλοι τοῦ ἡλίου."

Πίνακες, ὧν κάτωθεν οἵδε οἱ στίχοι·

Εἰ βούλοιο μαθεῖν ποῖα τῆς εὐδομάδος
ὁ μὴν ἡμέραν ἄρχεται, ἀπ' ὅλαις τῆς ἑπτάδος
τὸν ἐνεστῶτα κράτησον τοῦ φαυσιβρότου κύκλον
καὶ κάτελθε κατ' ἄντικρυ πρὸς τοῦ μηνὸς τὸν τίτλον
ἰδὲ πρὸς ποῖον νεύουσιν τῶν οἴκων τὸ στοιχεῖον
ἀρχὴν ἡγήσου τοῦ μηνὸς τῶν ἡμερῶν πρωτεῖον.

24 (φ. 125 β). Σημειώσεις πρὸς εὕρεσιν χρονολογιῶν διὰ τῶν δακτύλων περὶ χεῖρα ἐζωγραφημένην.

25 (φ. 131 β). "Τοῦ ὁσίου καὶ ὑμνολόγου πατρὸς ἡμῶν Ἡωσὴφ τοῦ ὑμνογράφου" Βίος.

Ἀρχ. Οὕτως ἦτον ἀπὸ τὴν ἐπαρχίαν τῶν Συκελιῶν ἀπὸ γονεῖς Πλωτίνον καὶ Ἀγάθην.

Καταλαμβάνει ἡμίσειαν μόνον σελίδα.

26 (φ. 132 α). Ἀνεπίγραφος διήγησις περὶ ἀσκητοῦ.

Ἀρχ. Οὕτως εἶχε πατρίδα μὲν τὴν γῆν ὁποῦ σύρνεται εἰς τὸ κάτω μέρος τοῦ Κυμιναίου ὄρους.

27 (φ. 133 β). "Περί τινος μοναχοῦ ζητοῦντος τὸ χάρισμα."

Ἕπονται ἄλλα τινὰ ἐκ τοῦ Πατερικοῦ.

28 (φ. 135 α). "Τί σημαίνει τὸ μοναστικὸν σχῆμα καὶ πρὸς τούτοις τί ἡ ἀπόκαρσις τῶν τριχῶν."

29 (φ. 136 β). Διήγησις ἀνεπίγραφος.

Ἀρχ. Ἦτον τις καλόγηρος Μαρκιανὸς ὀνόματι εἰς τὸ μοναστήριον τοῦ ἀρχιστρατίγου Μιχαήλ.

30 (φ. 139 β). "Περὶ ψυχῆς."

Ἀρχ. Ἡ ουσία τῆς ψυχῆς νοερὸν ἐστὶ πνεῦμα.

31 (φ. 140 β). Ἀνεπίγραφα περὶ Θεοῦ ἐν τῇ καθωμιλημένῃ.

Ἀρχ. Εἶναι ὁ Θεὸς ἀπερίγραπτος ἀΐδιος.

Ἐν τῇ ᾤᾳ πλείστων φύλλων τοῦ κώδικος ἀποσπάσματα συγγραφέων καὶ προσθῆκαι ὑπὸ χειρὸς νεωτέρας.

Τὰ φ. 117—125 παρεμβεβλημένα ἐξ ἄλλου κώδικος.

5621. 115.

Χαρτ. 8. (0,215×0,15). XVI. (φ. 124).

1 (φ. 1 α). "Τοῦ ἁγίου **Μαξίμου** Πρόλογος περὶ ἀγάπης."

2 (φ. 1 β). "**Τοῦ αὐτοῦ** Πρὸς τὸν αὐτὸν Ἐλπίδιον πρεσβύτερον Ἑκατοντὰς πρώτη."

3 (φ. 10 α). "Τίνες οἱ καρποὶ τοῦ πνεύματος."

4 (φ. 12 α). Βίος ἁγίου Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ.

Ἐν τῇ καθωμιλημένῃ. Τέλ. (ἀτελές)· διότι ἐγνώρισα ποῖος εἶσαι· τάχα τίνα ἦσαν.

5 (φ. 62 α). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γερμανοῦ** ἀρχιεπισκόπου **Κωνσταντινουπόλεως** τοῦ ὁμολογητοῦ Λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας."

6 (φ. 88 α). "Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν **Μαξίμου τοῦ ὁμολογητοῦ** Κεφάλαια περὶ ἀγάπης Θεοῦ."

Ἕπεται (φ. 105 β) "Ἑκατοντὰς δευτέρα." Ἀρχ. Ὁ γνησίως τὸν Θεὸν ἀγαπῶν.

Κῶδιξ κολοβός.

Τὸ ὑπ' ἀρ. 4 γέγραπται διὰ χειρὸς νεωτέρας (XVII. αἰῶνος). Τὸ δὲ φ. 12 α ἔφθαρται κατὰ τὸ ἥμισυ.

5622. 116.

Χαρτ. 8. (0,215×0,15). XV. (φ. 209).

1 (φ. 1 α). **Εὐεργετηνός.**

Ἀρχ. (ἀκέφ.)· ἐν τῷ α' βιβλίῳ διὰ τῶν λέξεων...λογισμῶν τὸν υἱόν σου οὕτως ἀποπέμψας κενὸν ἔφη ὁ γέρων.— Ἐν φ. 50 β ἀρχὴ τοῦ Βιβλίου β'.—Ἐν φ. 164 α ἀρχὴ τοῦ Βιβλίου γ'.

2 (φ. 188 α). "Βίος καὶ πολιτεία τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας, συγγραφεὶς παρὰ **Σωφρονίου** ἀρχιεπισκόπου **Ἱεροσολύμων**."

Κῶδιξ κολοβός.

5623. 117.

Χαρτ. 8. (0,21×0,15). XVII. (σ. 433).

1 (σ. 1). "Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Παϊσίου τοῦ μεγάλου συγγραφεὶς παρὰ τοῦ ὁσίου **Ἰωάννου** μοναχοῦ **τοῦ Κολοβοῦ**."

2 (σ. 83). "**Ἀναστασίου τοῦ Σιναΐτου** περὶ διαφόρων τρόπων μετανοίας καὶ σωτηρίας ψυχῶν ἐν κεφαλαίοις ι'."

3 (σ. 98). "Τοῦ ἁγίου **Μαξίμου** Περὶ ταπεινώσεως."

4 (σ. 99). "Περὶ θυμοῦ τοῦ **Χρυσοστόμου**."

5 (σ. 100). "Περὶ ὀργῆς. ἐκ τῶν ὀκτῶν λογισμῶν."

6 (σ. 103). "Περὶ λοιδωρίας."

Ἕπονται διάφορα ἄλλα κεφάλαια ἐκ τοῦ **Πατερικοῦ**.

***5624.** 118.

Χαρτ. 8. (0,21 × 0,155). XIX. (φ. 146).

"Βιβλίον πατερικὸν ἱερὸν ἀντιγραφὲν κατὰ τὸ ͵αωκζ'."

Περιέχει Ἀποσπάσματα **πατέρων**, ὧν πρῶτον "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἐφραὶμ τοῦ Σύρου** Περὶ τῆς ἱερᾶς ἀναγνώσεως."

Ἐν φ. 26 α—27 α "Στίχοι τοῦ ἁγίου **Τορνόβου**, κυρίου **Ἰωσήφ**." Ἀρχ.

Κλαύσωμεν καὶ δακρύσωμεν τῷ βίῳ περιόντες
πρὶν ἐκπεμφθῶμεν εἰς δεινὰς κολάσεις ἀνυποίστους.

Τέλ.

Καὶ δόξαν ἀναπέμψατε εἰς πάντας τοὺς αἰῶνας
καὶ κράτος καὶ προσκύνησιν τῇ παναλκεῖ Τριάδι.

Ἐν φ. 70—71 α "Στίχοι τοῦ κυρίου **Ἰωσὴφ πρώτου Τορνόβου** κατανυκτικοί." Ἀρχ.

Δεῦρο ψυχὴ τριτάλαινα δεῦρο καὶ νῦν ἀθλία·
Δαβὶδ ἐκ λόγων ψαλμῳδοῦ διδάσκου τὰ πρακτέα.

Τέλ.

Φεῦγε ψυχὴ τὰς κοσμικὰς φαντασματοσκοπίας
Φεῦγε ψυχὴ τὰς ἡδονάς, φεῦγε πρὸς Ὄρος σώζου.

Ἐν φ. 123 β·

Ἐγράφη πρὸς τοὺς εἴκοσι ἑπτά τε τῶν χιλίων
ὀκτακοσίων τῆς σεπτῆς Χριστοῦ θεογονίας
διὰ χειρὸς τοῦ ταπεινοῦ οἰκτροῦ τε Ἰακώβου
οὗ μέμνησθε πρὸς Κύριον οἱ τούτου ἐντυχόντες
καὶ σύγγνωτε τοῦ ἀκαλλοῦς τῆς χειριογραφίας.

(=1827).

Ἐν ἀρχῇ τοῦ κώδικος τρία μὴ συγκατηριθμημένα φύλλα. Ἐν τῷ πρώτῳ δ' αὐτῶν περιέχονται χειρὶ XVIII. αἰῶνος [**Διονυσίου**] "Στίχοι πρὸς τὴν πανυπεράγαθον καὶ πανυπερένδοξόν μου Θεοτόκον."

Ἀρχ. Μῆτερ Θεοῦ πάναγνε, σώζοις ἱκέτην
τὸν σὸν Διονύσιον τὸν θνηπόλον.

Τέλ. οὕτω πατρῷος μυστικῶς λέγει λόγος.

Ὄπισθεν τοῦ αὐτοῦ πρώτου φύλλου εἰκὼν τῆς Θεοτόκου ἐχούσης ἀναπεπταμένας ἄμφω τὰς χεῖρας καὶ φερούσης ἐν τῷ κόλπῳ τὸν Ἰησοῦν, κάτωθεν δ' αὐτῆς [**Διονυσίου**] "Στίχοι ἕτεροι πρὸς τὴν αὐτὴν πανυπερύμνητον Θεοτόκον."

Ἀρχ. Ἔμψυχε βίβλε τοῦ λόγου Θεοῦ.
Τέλ. Θνηπόλῳ Διονυσίῳ ἱκέτῃ τεῷ.

Οἱ αὐτοὶ δὲ Στίχοι εὕρηνται ἀντιγεγραμμένοι ἐν τῷ τρίτῳ τῶν μὴ συνηριθμημένων φύλλων.

5625. 119.

Χαρτ. 8. (0,22 × 0,155). XVI. (φ. το').

"Συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων ἀπὸ πάσης γραφῆς θεοπνεύστου συναθροισθεῖσα καὶ οἰκείως καὶ προσφόρως ἐκτεθεῖσα εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων παρὰ **Παύλου** τοῦ ὁσιωτάτου **μοναχοῦ καὶ κτήτορος μονῆς** τῆς ὑπεραγίας Θεοτόκου τῆς **Εὐεργέτιδος**."

Προτάσσεται "Πίναξ τοῦ πρώτου βιβλίου τοῦ **Εὐεργετινοῦ**" διαιρούμενος εἰς κεφάλαια ν'.

5626. 120.

Χαρτ. 8. (0,22 × 0,155). XVI. (φ. 406).

1 (φ. 1 α). "Ἀρχὴ τοῦ τρίτου βιβλίου τοῦ **Ἐβεργετινοῦ**."

Προτάσσεται "Πίναξ ἀκριβὴς τῆσδε τῆς βίβλου."

2 (φ. 237 α). Ἀνεπίγραφα σημειώματα περὶ τυπικοῦ ἐν μοναῖς.

Ἀρχ. Ἀκριβῶς καὶ τοῦτο εἰδέναι ἡμᾶς τὸ ποιεῖν ὅλως συντυχίας τοὺς ἱσταμένους ἐν τοῖς χοροῖς καὶ ψάλλοντας πάντῃ ἀπηγόρευται.

3 (φ. 239 α). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου** ἀρχιεπισκόπου Κωνσταντινουπόλεως **τοῦ Χρυσοστόμου** Λόγος περὶ μετανοίας καὶ περὶ τοὺς ἀπολειφθέντας ἐν ταῖς συνάξεσιν καὶ περὶ τῆς ἱερᾶς τραπέζης καὶ περὶ κρίσεως περὶ ψευδοπροφητείας καὶ ἀθέων αἱρετικῶν καὶ περὶ σημείων τῆς συντελείας τοῦ αἰῶνος τούτου."

4 (φ. 273 α). "Τοῦ ὁσίου καὶ μακαρίου **Ἐφραὶμ** Λόγος εἰς τὸ ἀλάβαστρον τοῦ μύρου δι' ἑπτασυλλάβων."

Ἀρχ. Πολλῶν ὄντων ὁσίων πατέρων καὶ ἀξίων τοῦ Θεοῦ ἀνυμνούντων εὐεργέτην.

5 (φ. 280 α). "**Χριστοφόρου** ἀρχιεπισκόπου **Ἀλεξανδρείας** Λόγος φανῶν τίνι ὁμοιοῦται ὁ ἀνθρώπινος βίος."

Ἀρχ. Πάντας μὲν τοὺς κατὰ καιρὸν ἱερεῖς.

6 (φ. 291 α). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Ἰωάννου** ἀρχιεπισκόπου Κωνσταντινουπόλεως **τοῦ Χρυσοστόμου** Ὁμιλία θ'."

7 (φ. 298 α). Τοῦ **αὐτοῦ** Ὁμιλία ιϛ'.

8 (φ. 300 α). "Τοῦ ὁσίου πατρὸς ἡμῶν **Πέτρου τοῦ Δαμασκηνοῦ** Ὅτι ἑπτά εἰσιν αἱ ἐργασίαι τῆς ἀρετῆς."

9 (φ. 303 β). **Ἰωάννου τοῦ Χρυσοστόμου**

α' (φ. 303 β). Λόγος περὶ εὐχῆς.—β' (φ. 307 α). Ἑρμηνεία εἰς τὸ Πάτερ ἡμῶν.—γ' (φ. 308 β). Λόγος κατηχητικὸς εἰς τὸ Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

10 (φ. 327 α). **Μαξίμου τοῦ ὁμολογητοῦ**

Κεφάλαια κατ' ἐρώτησιν καὶ ἀπόκρισιν ἐν τῇ καθωμιλημένῃ.

11 (φ. 328 α). "Ἐρώτησις τινὸς μοναχοῦ πρὸς ἅγιον γέροντα."

12 (φ. 385 α). "Ἐρώτησις περὶ τοῦ ἀγγελικοῦ μεγάλου σχήματος."

13 (φ. 388 α). Βραχεῖαι διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ**.

5627. 121.

Χαρτ. 8. (0,21 × 0,155). XVIII. (φ. 327).

Παλλαδίου Λαυσαϊκόν.

5628. 122.

Χαρτ. 8. (0,223 × 0,16). XVII. (φ. 336).

1 (φ. 1 α). "**Ἰωάννου** μοναχοῦ **τοῦ Εὐκρατᾶ** Ἐκ τῶν πνευματικῶν λειμώνων Κεφάλαια ρκθ'."

2 (φ. 227 α). "Τοῦ ἁγιωτάτου μητροπόλεως **Ἐφέσου** κυροῦ **Μάρκου τοῦ Εὐγενικοῦ**."

Ἀρχ. Ἐγὼ διὰ τὴν ἐπιταγὴν καὶ τὴν χρείαν τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀναδεξάμενος τὸ τῆς ἀρχιερωσύνης λειτούργημα.

3 (φ. 245 α). "Τοῦ **Ἀρμενοπούλου** Περὶ πίστεως ὀρθοδόξων."

4 (φ. 263 α). "Τοῦ ἁγίου **Συμεὼν τοῦ νέου Θεολόγου** Περὶ προσοχῆς καὶ προσευχῆς."

5 (φ. 303 α). "**Ἡσυχίου πρεσβυτέρου** Πρὸς Θεόδουλον."

5629. 123.

Χαρτ. 8. (0,22×0,16). XIX. (φ. 124).

Θεοδώρου τοῦ Στουδίτου Κατηχήσεις ἐν τῇ καθωμιλημένῃ.

Ἐν τέλει· Τούτων τὸ πλεῖστον ἀντεγράφη δι' ἄφεσιν τῶν ἁμαρτιῶν αὐτοῦ διὰ χειρὸς Θεοδώρου Πλαγηνοῦ Ἀγραφιαίου, δοκίμου ὄντος ἐν τῇ ἁγίᾳ μονῇ Ῥουσῶν ἐν ἔτει ᾳωιβ^ῳ Μαρτ. ιϛ^η (=1812).

5630. 124.

Χαρτ. 8. (0,215×0,15). XV. (σ. 22+398+26+6).

1. **Ἰωάννου τοῦ Σχολαστικοῦ** Κλίμαξ

μετὰ τοῦ πρὸς τὸν Ποιμένα λόγου.

Μετὰ καὶ σχολίων νεωτέρᾳ χειρὶ ἐγγεγραμμένων εἰς τὴν ᾤαν.

2. **Ἀδήλου** Σχόλια εἰς τὴν Κλίμακα.

Ἀρχ. **Νοερῶν νεανίδων.** Νοεραὶ νεάνιδες, αἱ ψυχικαὶ καταστάσεις, ἃς ἡ ξενιτεία ὡς κόρας φυλάττειν οἶδε μηδενὶ ὁρωμένας ἐξ ἀπαρρησίας, ἀλλ' ὡς κόρας ἐν οἴκῳ ἰδίῳ τῇ ἑαυτῶν καταστάσει ἀποκλειομένας· καλῶς οὖν προστάτιν εἶπε τὴν ξενιτείαν ὡς ἀρετῆς φύλακα οὖσαν.

Ἄνω τῶν Σχολίων τούτων ἐν τῇ ᾤᾳ γέγραπται χειρὶ νεωτέρᾳ "Σχόλια **Ἠλία Κρήτης.**"

3. "Τοῦ σοφωτάτου **Ψελλοῦ** Σχόλια" Εἰς τὴν Κλίμακα.

Ἀρχ. Ὃ μεμάθηκα, ἀλλ' οὐχ ὃ πέπονθα ἐπηγγειλάμην διδάσκειν ὑμᾶς· ὑμεῖς δὲ τῆς ὑποσχέσεως ὥσπερ ἐπιλαθόμενοι καὶ πρὸς ἃ δεῖ παθεῖν ἀνάγκη τὸν θεωρὸν ἡμᾶς καταναγκάζοντες ἕλκετε.

4. Ἀποφθέγματα **Μαξίμου τοῦ ὁμολογητοῦ, Βασιλείου τοῦ μεγάλου** καὶ **Διαδόχου Φωτικῆς.**

5631. 125.

Χαρτ. 8. (0,205×0,15). XVIII. (φ. 201).

Ἰωάννου τοῦ Σχολαστικοῦ Κλίμαξ.

Μεθ' ἑρμηνείας ἑπομένης ἑκάστοτε εἰς προηγούμενα βραχέα χωρία τοῦ κειμένου.

Κῶδιξ λίαν εὔθρυπτος.

5632. 126.

Χαρτ. 8. (0,21×0,14). XV. (φ. 322).

Διονυσίου τοῦ Ἀρεοπαγίτου Συγγραφαί.

Τῶν Ἐπιστολῶν σῴζεται μόνον ἡ ἐπιγραφή.

Ἐν τῇ ᾤᾳ Σχόλιά τινα ἀραιά.

5633. 127.

Χαρτ. 8. (0,205×0,15). XV. (φ. 303).

1. **Ἀββᾶ Νείλου.**

α'. Νηπτικὰ κεφάλαια (ἀκέφ.).—β'. "**Τοῦ αὐτοῦ** Περὶ παθῶν τῷ αὐτῷ" κεφ. η'.—γ'. "**Τοῦ αὐτοῦ** Σκέμματα πρὸς αὐτόν." κεφ. ξβ'.—δ'. "**Τοῦ αὐτοῦ** Ὅροι παθῶν ψυχῆς λογικῆς." κεφ. λγ'.—ε'. "**Τοῦ αὐτοῦ** Γνῶμαι" κτλ.

2. "Τοῦ **μακαρίου Νείλου** Πρόλογος

τῶν περὶ προσευχῆς ρνγ' κεφαλαίων πρὸς τὸν αὐτὸν Εὐλόγιον."

3. **Τοῦ αὐτοῦ** Ἕτερα κεφάλαια καὶ Λόγοι (κολ.).

5634. 128.

Χαρτ. 8. (0,23×0,17). XVI. (φ. 335).

1 (φ. 1 α). **Ἰσαὰκ τοῦ Σύρου** Λόγοι.

Ὁ πρῶτος αὐτῶν ἀρχ. (ἀκέφ.)... πλήρωμα γὰρ τῆς εὐχῆς ἡ χάρις ἡ τῶν δακρύων.

Ἡ τάξις τῶν λόγων διάφορος ἢ ἐν τῇ ἐκδόσει τοῦ ΘΕΟΤΟΚΗ. Ἐν Λειψίᾳ. 1770.

2 (φ. 117 α). "Τοῦ ἁγίου **Μακαρίου τοῦ Αἰγυπτίου** Ὁμιλίαι πνευματικαὶ

καὶ πάνυ πολλῆς ὠφελείας πεπληρωμέναι."

3 (φ. 221 α). "Σὺν Θεῷ Σύντομος διήγησις

τῶν διὰ πλάτους ἱστορηθέντων ὑπὸ τοῦ μακαρίου **Θεοδωρήτου** ἐπισκόπου **Κύρρου** ἐν τῇ Φιλοθέῳ ἱστορίᾳ."

α' (φ. 221 α). "Περὶ Ἰακώβου." β' (φ. 226 α). "Περὶ Ἰουλιανοῦ."—γ' (φ. 235 α). "Περὶ Μαρκιανοῦ."—δ' (φ. 245 α). "Περὶ Εὐσεβίου."—ε' (φ. 251 α). "Περὶ Πουπλίου."—ϛ' (φ. 255 β). "Περὶ Συμεών."—ζ' (φ. 260 β). "Περὶ Παλλαδίου."—η' (φ. 262 α). "Περὶ Ἀφραάτου."—θ' (φ. 269 α). "Περὶ Πέτρου."—ι' (φ. 272 β). "Περὶ Θεοδοσίου."—ια' (φ. 279 α). "Περὶ Ῥωμανοῦ."—ιβ' (φ. 277 β). "Περὶ Ζήνωνος."—ιγ' (φ. 281 α). "Περὶ Μακεδονίου."—ιδ' (φ. 289 β). "Περὶ Μαηουμᾶ."—ιε' (φ. 292 β). "Περὶ Ἀκεψιμᾶ."—ιϛ' (φ. 295 β). "Περὶ Μάρωνος."—ιζ' (φ. 297 α). "Περὶ Ἀβραμίου."

Ἀτελὴς μὲν οὗτος ὁ βίος, ἀτελὴς δὲ καὶ ἡ ὅλη συγγραφή. Μένουσι δ' ἄγραφα τὰ φ. 302 καὶ 303.

4 (φ. 304 α). "Περὶ τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος."

5 (φ. 312 α). **Ἰωάννου τοῦ Χρυσοστόμου**

α' (φ. 312 α). Εἰς τὸν μάταιον βίον.—β' (φ. 315 β). "Περὶ νηστείας."—γ' (φ. 315 β). "Περὶ νηστείας" Λόγος ἕτερος.

6 (φ. 324 β). **Ἀθανασίου τοῦ μεγάλου**

Λόγος πρὸς τὰς ἐπιστολὰς τοῦ Θεοῦ.

7 (φ. 332 α). **Ἐφραὶμ τοῦ Σύρου**

Λόγος περὶ κατανύξεως τῆς ψυχῆς.

117 (σ. 673). **Νικηφόρου Ἁγιορείτου** *Ἑρμηνεία τῆς νοερᾶς προσευχῆς καὶ νήψεως.*

118 (σ. 675). "Ἀπόδειξις τῆς μεθόδου τοῦ **Νικηφόρου**" [**Ἁγιορείτου**].

119 (σ. 678). **Γρηγορίου τοῦ Σιναΐτου** Περὶ τῆς αὐτῆς.

120 (σ. 685). "Προφητεῖαι **Μωϋσέως τοῦ Αἰθίοπος.**"

121 (σ. 687). "Προφητεῖαι τοῦ **Ἱερωνύμου Ἀγαθαγγέλου**, *μὲ παράφρασιν.*"

122 (σ. 689). "Προφητεία **ἁγίου ἀνδρὸς** *πρὸς τὸν βασιλέα Μανουὴλ τὸν Παλαιολόγον ἐν ἔτει 1394 περὶ ἁλώσεως τῆς Κωνσταντινουπόλεως, καὶ πάλιν ἐλευθερίας καὶ περὶ συντελείας κόσμου.*"

123 (σ. 695). "Ἐπίλογος τοῦ συγγραφέως."

124 (σ. 698). "Ἡ θαυμασία ὀπτασία *τοῦ ὁσιωτάτου κυρίου Δανιήλ, ἣν εἶδε ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, κατὰ τὸ αψξδ´ ἔτος Νοεμβρίου ιγ´.*"

125 (σ. 707). "Προγνωστικὸν περὶ τοῦ μέλλοντος *εἰς τὰ ἔτη 1848 μέχρι τοῦ 1856.*"

126 (σ. 710). "Περὶ τοῦ Μωάμεθ."

127 (σ. 711). "Περὶ τῆς διδασκαλίας τοῦ Μωάμεθ."

128 (σ. 713). "Θεωρία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Μεθοδίου**, *ἀρχιεπισκόπου* **Πατάρων**, *περὶ τῶν μελλόντων γενέσθαι.*"

129 (σ. 716). "Λόγος περὶ τοῦ θρυλλουμένου *πτωχοῦ καὶ ἐκλεκτοῦ βασιλέως τοῦ κατοικοῦντος ἐν τῷ πρώτῳ ἄκρῳ τῆς Βυζαντίδος.*"

130 (σ. 722). "Περὶ τὸ τέλος τοῦ παρόντος *αἰῶνος, ἐκ τοῦ* **Ἰωάννου Σεριφίου.**"
Ἀρχ. Ὁ κάθε αἰῶνας λοιπὸν κάμνει δύο χιλιάδας πεντακοσίους χρόνους.

131 (σ. 725). "**Τοῦ ἁγίου Ταρασίου**" Προφητεῖαι.

132 (σ. 741). Εὐχή.

133 (σ. 744). Προτροπὴ περὶ ἑνώσεως *καὶ ὁμονοίας τῶν ὀρθοδόξων.*

134 (σ. 749). Ἐπιστολὴ πρὸς τοὺς ὀρθοδόξους.

135 (σ. 751). "Ἱστορία περὶ τοῦ ἁπλοῦ ἀνθρώπου *ὡραία καὶ ὠφελιμωτάτη.*"

136 (σ. 760). Θαῦμα τῆς Θεοτόκου.

137 (σ. 763). "Διήγησις εἰς τὸν βίον *τοῦ μεγάλου μαΐστορος τῆς μουσικῆς τέχνης κυροῦ Ἰωάννου τοῦ Κουκουζέλη.*"

138 (σ. 769). "Περὶ τῆς μετανοίας τοῦ δικαίου *Λώτ, καὶ τοῦ τρισυνθέτου ξύλου Κηπαρίσσου Πεύκης καὶ Κέδρου.*"

139 (σ. 774). "Περὶ τῶν Σοδομητῶν."

140 (σ. 787). "Εὐχὴ διὰ τὴν ἀπολύτρωσιν *παντὸς ἔθνους φιλοχρίστου ἐκ τῆς αἰχμαλωσίας.*"

141 (σ. 792). Ἄλλη ὁμοία.

142 (σ. 795). "Σημείωσις περὶ τῆς αἰτίας *τοῦ συγγράψαι τὰς δύο εὐχάς.*"

143 (σ. 800). "Ἐκ τοῦ **Πατερικοῦ** *θαυμαστὸν περὶ μνημοσύνων.*"

144 (σ. 803). "**Ἀνωνύμου τινὸς ἁγίου** *Λόγος θαυμάσιος περὶ τῆς εὐχῆς τοῦ Κύριε Ἰησοῦ Χριστὲ υἱὲ τοῦ Θεοῦ ἐλέησόν με.*"

145 (σ. 805). "Ἑρμηνεία **Ἰωάννου Συμεωνίδου.**" *Εἰς "σκαλοπάτια" ιβ´.*

146 (σ. 822). "Περὶ τῆς ἀδιαλείπτου προσευχῆς."
Προτάσσεται τοῦ κώδικος "Πίναξ κεφαλαιώδης τῶν ἐν τῇ παρούσῃ ψυχωφελῇ βίβλῳ περιεχομένων," καταλαμβάνων σελίδας 12 μὴ συνηριθμημένας. Αἱ δὲ σ. 445 καὶ 446 εἰσὶν ἄγραφοι.

Τὰ ὑπ' ἀρ. 35, 36, 38—48, 50, 53, 55, 56, 58—66 α, 68—73, 75, 76, 78—84, 86—88, 90, 92—101, 105—110, 112—121, 123—127, 130, 131, 133, 135, 137—139 *καὶ* 142—146 *ἐν τῇ καθωμιλημένῃ.*

Ὁ κῶδιξ γέγραπται ὑπὸ Θωμᾶ ἱερομονάχου.

5712. 205.

Χαρτ. 8 *μέγ.* (0,24 × 0,185). XVIII. (*φ.* 93).

1 (φ. 2 α). "Λόγος μετ' ἐγκωμίου εἰς τὴν εἰκόνα τῆς Θεοτόκου."

2 (φ. 7 β). "Στίχοι εἰς τὴν Θεοτόκον."

3 (φ. 8 α). Ἐπιστολὴ τῶν **Ἁγιορειτῶν** πρὸς Μιχαὴλ τὸν Παλαιολόγον.

4 (φ. 27 α). "**Ἀλεξάνδρου κλεδούχου** *τοῦ σεβασμίου ναοῦ καὶ θήκης τοῦ ἱεροῦ λειψάνου* **ἐν Κύπρῳ τοῦ ἁγίου ἀποστόλου Βαρνάβα** (*ἤτοι παρακλήσεως*) *Βίος καὶ ἄθλησις αὐτοῦ.*"

5 (φ. 32 α). "Περὶ τῆς κατὰ τὸ 1583 γενομένης *συνόδου ἐν τῷ πατριαρχικῷ ναῷ τῆς Παμμακαρίστου περὶ ἀποβολῆς τοῦ νέου ἔτους Λατίνου καὶ τῆς τηρήσεως τοῦ Πάσχα τοῦ τελουμένου τὴν α´ κυριακ. μετὰ τὸ νομικὸν φάσκα.*"

6 (φ. 39 α). "Διήγησις μετ' ἐγκωμίου εἰς τὴν εἰκόνα τῆς Θεοτόκου."

7 (φ. 45 α). Ἐπιστολὴ τῶν **Ἁγιορειτῶν** πρὸς Μιχαὴλ τὸν Παλαιολόγον.

8 (φ. 62 α). Βίος Εὐθυμίου τοῦ νέου μεταφρασθεὶς ἐκ τῆς ἀρχαίας εἰς ἁπλῆν.

Ἐν φ. 1α· Ἐν τῷ παρόντι τεύχει ἐγράφησαν τὰ ἀναγκαῖα πρὸς ὀρθοδοξίαν

ἤτοι ἡ ἐπιστολὴ τῶν Ἁγιορειτῶν πατέρων ἣν ἀπέστειλαν πρὸς τὸν λατινόφρονα βασιλέα Μιχαὴλ τὸν Παλαιολόγον σπεύδοντα ἑνῶσαι τὴν λατινικὴν δυσσέβειαν καὶ καταστῆσαι τὸν πάπαν κεφαλὴν τῶν ἐκκλησιῶν, καὶ ἀποστῆναι ἀπὸ Χριστοῦ.

Προσετέθησαν καὶ ἄλλα τινὰ πάνυ ἀναγκαῖα συντείνοντα εἰς τὴν αὐτὴν ὑπόθεσιν καὶ ἐκ τοῦ βίου τοῦ ἁγίου ἀποστόλου Βαρνάβα.

Αἰτήσει τοῦ ἐλλογιμωτάτου κυρίου Ἀζαρία Ῥωσσου διατελοῦντος ἐν τῇ ἱερᾷ μονῇ ῥωσσικῇ.

Ἐν ἔτει σωτηρίῳ αωξϛ^ῳ 1866 ἐν τῷ ἁγιωνύμῳ ὄρει Ἄθῳ.

Ἐν δὲ φ. 93 α ἐν τέλει τοῦ βίου τοῦ ἁγίου Εὐθυμίου·

α ωνε^ω διὰ μοναχοῦ Ἰακώβου (=1855).
Εὐθύμιε φάνηθι ἡμῶν προστάτα
τιμῶσι πιστῶς, σὸν μετ' εἰρήνης τέλος.
Πέμπτῃ καὶ δεκάτῃ Εὐθύμιε πότμον ἀνέτλης.

Τὰ φ. 56—61 ἄγραφα.

Ὁ κῶδιξ γέγραπται ὑπὸ Ἰακώβου τοῦ πρεσβυτέρου τοῦ ἐπικαλουμένου ὑπὸ τῶν Ἁγιορειτῶν Διδασκάλου, ἅτε συντάξαντος Ἀκολουθίας καὶ Τροπάρια. Διακριτέος δὲ οὗτος Ἰακώβου τοῦ νεωτέρου, ἱερομονάχου Χίου τοῦ Προδρομίτου, ἤτοι σκητιώτου τῆς εἰς τὴν μονὴν Ἰβήρων ἀνηκούσης σκήτης τοῦ Προδρόμου.

5713. 206.

Χαρτ. 8. (0,23 × 0,17). XVIII., XIX. (φ. 191).

1 (φ. 1 α). "Διήγησις περὶ τοῦ γενομένου θαύματος ἐν τῷ λάκκῳ τοῦ Ἄδειν παρὰ τοῦ ἀρχαγγέλου Γαβριήλ."

Ἐν φ. 2 α ἡ ὑποσημείωσις ἥδε· Θεοδώρητος ἀρχιμανδρίτης καὶ προηγούμενος τῆς ἱερᾶς Μεγίστης Λαύρας, ὁ καὶ τῆς Κοινοβιακῆς μονῆς Ἐσφιγμένου ἡγούμενος ὕστερον χρηματίσας ἐν τούτοις τοῖς χρόνοις εὗρεν εἰς παλαιὰ σωζόμενα χειρόγραφα, ὅτι ἔγεινε τὸ τοιοῦτον θαῦμα· περιελθὼν αὐτὰ ἐπιμελῶς ὡς ζηλωτὴς ὤν, καὶ φιλομαθὴς καὶ ἱεροδιδάσκαλος.

2 (φ. 12 α). Ἱστορία διὰ στίχων πολιτικῶν "εὑρεθεῖσα ἐν παλαιῷ ἱστορικῷ βιβλίῳ περὶ τῆς εἰκόνος τῆς Θεοτόκου τῆς Πορταϊτίσσης εὑρισκομένης νῦν ἐν τῇ μονῇ Ἰβήρων."

Ἀρχ.
Πολλοὶ σοφοὶ ἐγράψασιν ἀμέτρους ἱστορίας
μύθους καὶ διηγήματα καὶ ἄλλας νουθεσίας.

Τέλ.
τὸν Ἰωάνην τὸν καλὸν τὸν περιπόθητόν της·
εἰς θάλασσαν κατέβηκαν μαζὶ μὲ τὴν εἰκόνα.

3 (φ. 16 α). Τυπικὸν τοῦ **ἁγίου Σάββα** ἀρχιεπισκόπου Σερβίας.

4 (φ. 23 α). Ἀκολουθία ἁγίου Μακαρίου τοῦ νέου ἀσκήσαντος ἐν Ἁγίῳ Ὄρει.

5 (φ. 47 α). Περὶ τοῦ μακαρίου Νικήτα καὶ τῶν ἐν Σέρραις ὑπ' αὐτοῦ πραχθέντων.

Διήγησις ἀνεπίγραφος. Ἀρχ. Ὁ μακάριος καὶ ἱερὸς Νικήτας ἐλθὼν ἐνταῦθα εἰς Σέρρας τῇ μεγάλῃ Δευτέρᾳ ἑσπέρας.

Ἐν φ. 53 β Κωνσταντῖνος ἱερομόναχος καὶ Νικόλαος Σεϊένος ἐπιβεβαιοῦσι περὶ τοῦ ἀληθοῦς τῆς ἀνωτέρω Διηγήσεως.

6 (φ. 55 β). "Διοργανισμὸς τῆς Ἀθωνιάδος σχολῆς."

7 (φ. 66 α). "Περὶ τῆς ἐπισκέψεως τῶν ἐν Ἄθω μονῶν. Ἐρανίσθη ἐκ τῶν ἐπιστολῶν τοῦ **Γ. Π. Μανσούρωφ.**"

8 (φ. 79 α). "Ἐπιστολαὶ **τοῦ Ἁγιορείτου** σταλεῖσαι πρὸς τοὺς φίλους του περὶ τοῦ Ἁγίου ὄρους τοῦ Ἄθωνος."

9 (φ. 95 α). "Διήγησις ὀπτασίας πάνυ ὠφέλιμος ἣν εἶδεν τις μοναχὸς εὑρισκόμενος εἰς ἓν μονήδριον τοῦ Ἁγίου ὄρους τοῦ Ἄθωνος τῷ 1854..."

10 (φ. 121 α). "Ὀπτασία φανῆσα εἰς ἓν μικρὸν ἄκακον παιδίον."

11 (φ. 127 α). **Ἁγίου Διονυσίου τοῦ ἐν Ὀλύμπῳ** Ἐπιστολὴ πρὸς τοὺς ἐν Ἄθωνι.

12 (φ. 133 α). "Στίχοι ὁμοιοκατάληκτοι εἰς τὴν ὑπεραγίαν Θεοτόκον."

Ἀρχ. Ἀνύμφευτε θεόνυμφε Θεοτόκε Μαρία.

13 (φ. 134 β). **Ἰωάσαφ τοῦ [Παρίου]** τοῦ ἐν ἱερομονάχοις ἐλαχίστου Ἐπιστολὴ "πρὸς τοὺς μεμφομένους τοὺς συνεχῶς μεταλαμβάνοντας."

14 (φ. 140 α). "Ἀπολογία **Ἰωάσαφ** ἱερομονάχου **τοῦ Παρίου.**"

15 (φ. 141 α). Ἐπιστολὴ **Ἰωάσαφ [τοῦ Παρίου]** Πρὸς τοὺς κατηγοροῦντας τοὺς μὴ ποιοῦντας κόλλυβα κατὰ τὰς Κυριακὰς καὶ τὰς δεσποτικὰς ἑορτὰς καὶ ἀποδεικνύουσα ὅτι πρέπει νὰ φυλάττωμεν τὰς ἐκκλησιαστικὰς παραδόσεις.

16 (φ. 152 α). "**Νικοδήμου Ἁγιορείτου** Ὁμολογία πίστεως καὶ περὶ ὧν κατηγορεῖται ἀπολογία σύντομος."

Ἀπὸ φ. 188 α κ. ἑ. Συνέχεια τῆς αὐτῆς Ἀπολογίας γεγραμμένη ἄλλῃ χειρί.

Τὰ μὲν ὑπ' ἀρ. 2, 3, 5, 11 καὶ 14—16 χειρὶ XVIII. αἰῶνος, τὰ δὲ ὑπ' ἀρ. 1, 4, 6—10, 12 καὶ 13 χειρὶ XIX.

Ὁ ὅλος κῶδιξ περιέχει πολλὰ διασβέσματα καὶ διορθώσεις.

Τὰ φ. 8—11, 20—22, 44—46, 54—55 α, 64, 65, 78, 89—94 καὶ 124—126 ἄγραφα.

5714. 207.

Χαρτ. 8 μέγ. (0,245 × 0,185). XVIII., XIX. (φ. 110).

1 (φ. 1 α). "Βίος τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ ἐν Θεσσαλονίκῃ τοῦ ὑπὲρ τῶν ἁγίων εἰκόνων ἀγωνισαμένου."

2 (φ. 35 α). "Βίος ἔνθεος τοῦ πανοσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ νέου μεταφρασθεὶς ἐκ τῆς Ἑλληνίδος φωνῆς εἰς ἁπλὴν πεζὴν διάλεκτον."

Ἐν φ. 62 β κάτω· αωνε' (=1855) Διὰ μοναχοῦ Ἰακώβου.

3 (φ. 66 α). "**Νικολάου τοῦ** ἁγιωτάτου πατριάρχου **Κωνσταντινουπόλεως** Ποίημα πρὸς τὸν πρῶτον τοῦ Ἁγίου ὄρους ὡς τυπικόν."

Ἀρχ. Πολλάκις μὲν ἐβίασας καὶ ἐξέθλιψας, τέκνον.

Ἴδε καὶ 333(7), 8.

4 (φ. 78 α). "Τοῦ σοφωτάτου διδασκάλου κυρίου **Ἰωσήφ, μονῆς Βατοπαιδίου**· Λόγος ἐγκωμιαστικὸς, ἅμα καὶ παρακλητικὸς εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου."

5 (φ. 93 α). "Ἀπολογία τοῦ σοφωτάτου κὺρ **Εὐγενίου [τοῦ Βουλγάρεως]** περὶ τῆς ἐκ τῆς σχολῆς τοῦ Ἁγίου ὄρους φυγῆς."

Ἴδε καὶ 3784 (250), 2.

6 (φ. 97 α). "Ἀπάντησις εἰς τὸ ἀπὸ τῆς Σμύρνης κατηγορικὸν γράμμα."

7 (φ. 105 α). Περὶ τῶν μονῶν Ἁγίου Ὄρους.

8 (φ. 109 α). **Γρηγορίου τοῦ Παλαμᾶ** Ὁμολογία τῆς ὀρθοδόξου ἡμῶν πίστεως.

Ἐν φ. 96 β χειρὶ XVIII. αἰῶνος· "κθ' Ἰανουαρίου ͵αλνθ^ω." ἀντεγράφη ἐξ ἑτέρου ἀντιγράφου κατὰ τὸ ͵αλπθ^ω σωτήριον ἔτος Ἰουνίου κζ^η ἐν τῇ κατὰ τὰ Μάδυτα νεοδμήτῳ σχολῇ.

Τὰ μὲν ὑπ' ἀρ. 4 καὶ 6 χειρὶ XVIII. αἰῶνος, τὰ δὲ ὑπ' ἀρ. 1, 2, 3 καὶ 5, 7 καὶ 8 χειρὶ XIX. αἰῶνος.

Τὰ φ. 33, 34, 64, 65, 76 β, 77, 90 β, 91, 92, καὶ 100 β—104 καὶ 108 ἄγραφα.

5715. 208.

Χαρτ. 4. (0,25×0,195). XIX. (φ. 83).

1 (φ. 1 α). **Ἀθανασίου τοῦ Παρίου** Δήλωσις περὶ τῆς ἀληθείας τῶν ἐν Ἁγίῳ ὄρει ταραχῶν.

Εἰς κεφάλαια ιε' μετὰ Προοιμίου.

2 (φ. 57 β). "Περὶ τοῦ Κορίνθου, ἤτοι τοῦ ἱεροῦ Μακαρίου· ἀπόδειξις ὅτι οὐκ ὀρθῶς, οὐδὲ δικαίως ἐκ τῆς πρός τινας συγκρίσεως καί τινων ἀνθρωπίνων λογισμῶν ἡ τούτου ἁγιότης καὶ τὰ θαύματα ἐκβάλλονται."

Ἐν φ. 83 α κάτω· Ἀντεγράφη ἡ παροῦσα τεῦχος ἐξ ἀρχαίου χειρογράφου τῆς ἐν Ἄθῳ ἱερᾶς μεγίστης Λαύρας τοῦ ἁγίου Ἀθανασίου διὰ χειρὸς Παύλου ταπεινοῦ μοναχοῦ καὶ καλλιγράφου κατ' ἐντολὴν τοῦ πανοσιωτάτου καθηγουμένου τοῦ Ἰ. Ῥωσσικοῦ κοινοβίου τοῦ ἁγίου Παντελεήμονος ἀρχιμανδρίτου κυρίου Ἀνδρέου, διὰ τὴν βιβλιοθήκην τοῦ αὐτοῦ Ἰ. Κοινοβίου ἐν ἔτει ͵αωϟα' Νοεμβρ. ια' (=1891).

5716. 209.

Χαρτ. 4. (0,25×0,19). XIX. (φ. 51).

Ἀθανασίου τοῦ Παρίου Ἐπιστολαὶ ἀπολογητικαί.

Ἀπόγραφον τοῦ ὑπ' ἀρ. ΤΖ' κώδικος τῆς ἐν Πάτμῳ μονῆς τοῦ εὐαγγελιστοῦ Ἰωάννου γραφὲν ὑπὸ τοῦ πρώην μητροπολίτου Πηλουσίου κ. Ἀμφιλοχίου τῷ ͵αωϟα' (=1891).

Ἴδ. ΣΑΚΚΕΛΙΩΝΟΣ Πατμιακὴ βιβλιοθήκη. Ἐν Ἀθήναις. 1890. σ. 181.

5717. 210.

Χαρτ. 4. (0,25×0,195). XIX. (φ. 41).

Ἀπόγραφον τοῦ ὑπ' ἀρ. 591 (44) κώδικος τῆς μονῆς Γρηγορίου.

Ἐγράφη κατὰ Σεπτέμβριον ͵αωϟβ' (=1892).

Ἴδ. τοῦ μετὰ χεῖρας Καταλόγου Τόμ. Α' σ. 51.

5718. 211.

Χαρτ. 4. (0,25×0,19). XIX. (σ. 204+597).

1. "Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Μελετίου τοῦ Ὁμολογητοῦ."

2. **Μελετίου τοῦ Ὁμολογητοῦ** Ἀλφαβηταλφάβητος.

Ἀπόγραφον τοῦ ὑπ' ἀρ. 720 (18) κώδικος τῆς μονῆς Ξενοφῶντος, γραφὲν ἐν ἔτει σωτηρίῳ ͵αωξθ' (=1869) καὶ ἀνατεθὲν τῇ βιβλιοθήκῃ τῆς Ῥωσικῆς μονῆς ὑπὸ τοῦ καθηγουμένου Γερασίμου ἱερομονάχου.

5719. 212.

Βομβ. 4. (0,26×0,17). XIII. (φ. 279).

1 (φ. 1 α). "Ὁ Πίναξ τῶν ἐμπεριεχομένων τῇ δέλτῳ τῇδε."

Γέγραπται κατὰ δύο σελίδας. Πρῶτα δ' ἀναγραφόμενα ἐν τῷ Πίνακί εἰσι τάδε·

"α'. Στίχοι περὶ τῆς φυλακῆς" [**Μιχαὴλ Γλυκᾶ**].

"β'. Ἕτεροι στίχοι πρὸς τὸν βασιλέα κῦρ Μανουὴλ τὸν Κομνηνὸν καὶ ἀναγωγὴ δημωτικῶν τινῶν ῥητῶν :~" [**Τοῦ αὐτοῦ**].

"γ'. Εἰ χρὴ συγκαταβαίνειν τοῖς πταίουσι καὶ μὴ κατὰ λόγον αὐτοῖς ἐπιτιμᾶν τὸν προσήκοντα:~" [**Τοῦ αὐτοῦ**].

"δ'. Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι πρόσκαιρον εἶχε τὸ σῶμα καὶ κατ' ἀρχὰς ὁ ἄνθρωπος καὶ ὅτι φυσικοῖς ὑπέκειτο καὶ πρὸ τῆς παραβάσεως πάθεσι." [**Τοῦ αὐτοῦ**].

"ε'. Περὶ τοῦ ὁποῖος ἦν ἀπ' ἀρχῆς ὁ Ἀδὰμ κατά γε δόξαν ὁμοῦ καὶ λαμπρότητα." [**Τοῦ αὐτοῦ**].

Ἐξακολουθεῖ οὕτως ὁ Πίναξ καθ' ὅλον τὸ φ. 1, ἡ δὲ συνέχεια αὐτοῦ εὕρηται ἐν φ. 2 καὶ 3. Ἐτελεύτα δ' ἐν τῇ δευτέρᾳ σελίδι τοῦ φ. 3 α. Ἐν δὲ τῷ φ. 3 β, μείναντι ἀγράφῳ, φέρονται νῦν, νεωτέρᾳ πως χειρὶ γεγραμμένα, τάδε·

+Σύνταγμα.

Σύνταγμα **Γλυκᾶ Μιχαὴλ** τουτὶ φέρον
λύσεις γραφικῶν ἀποριῶν πανσόφος:

Τῶν δ' ἐν τῷ Πίνακι ἀναγεγραμμένων, ἐκρυέντων ἐν τῷ μεταξὺ ὀλίγων φύλλων, οὐ σῴζονται νῦν οἱ τοῦ **Γλυκᾶ** "Στίχοι περὶ τῆς φυλακῆς," πάντως αὐτοὶ ἐκεῖνοι, οὓς ἐκ τοῦ ἐν τῇ Ἐθνικῇ βιβλιοθήκῃ τῶν Παρισίων ἑλληνικοῦ κώδικος 228 ἐδημοσίευσεν ὁ EMILE LEGRAND ἐν τῇ Bibliotheque Grecque vulgaire. Paris. 1880. Τόμ. Α' σ. 18—37. καὶ οἱ "Ἕτεροι στίχοι πρὸς τὸν βασιλέα κῦρ Μανουὴλ τὸν Κομνηνόν," οἵτινες ἐκ τοῦ αὐτοῦ κώδικος τῶν Παρισίων ἐξεδόθησαν ὑπὸ KARL KRUMBACHER. Michael Glykas. (Sitzungsberichte der philos.-philol. und der histor. Classe der K. bayer. Akad. d. Wiss. 1894. Heft III. σ. 447—451). Κατὰ ταῦτα δὲ τὰ νῦν ἐν τῷ κώδικι σῳζόμενα ἄρχονται ἀπὸ τοῦ δευτέρου μέρους τοῦ β' τοῦ Πίνακος.

2 (φ. 4 α). **Μιχαὴλ Γλυκᾶ** Ἀναγωγὴ δημοτικῶν τινων ῥητῶν.

Σῴζεται ἀνεπίγραφον μόνον τὸ τέλος. Ἀρχ. **Βλέπε εἰς τὸ ἓν μὴ πάθῃς δέκα:** Ἐπὶ τῷ μακαρίῳ Δαυῒδ ἔστιν ἰδεῖν τὸ παροιμιῶδες τοῦτο τέλος λαβόν.

Ἕπονται τὰ ἑξῆς ῥητὰ μετὰ τῆς ἑρμηνείας αὐτῶν α'. "Ἂς οιδα τίς τὸ ἐζήμωσε τὴν Πέμπτην ἔχει ἀνάβειν."—β'. "**Τίνος** ἕνεκεν ὁ ὄφις ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμοὺς κοι[μώμενος]."—γ'. "Ὁ δὲ λέων τίνος ἕνεκεν ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμοὺς μὴ κοιμώ[μενος]."—δ'. "Ὁ δὲ λαγὼς τίνος ἕνεκεν ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμοὺς κοιμώμενος." Τέλ. τῆς ἑρμηνείας τοῦ δ'· μήποτε ταῖς πάγαις ἐγκύρσῃ το[ῦ ταῖς] ψυχαῖς ἡμῶν ἀεὶ ἐνεδρεύοντος δαίμονος.

Ἴδε τὴν ἔκδοσιν Κ. ΣΑΘΑ ἐν Μεσαιωνικῇ Βιβλιοθήκῃ. Ἐν Παρισίοις. 1876. Τομ. Ε' σ. 544 κ. ἑ. καὶ τὴν συμπλήρωσιν αὐτῆς παρὰ KARL KRUMBACHER Mittelgriechische Sprichwörter. München. 1893. σ. 112 κ. ἑ.

3 (φ. 4 α). **Μιχαὴλ Γλυκᾶ** Ἐπιστολαί.

α' (φ. 4 α). "**Τοῦ αὐτοῦ** γραμματικοῦ **Μιχαὴλ** τῷ τιμιωτάτῳ μοναχῷ καὶ στ[υλίτῃ κυρῷ Ἰωάννῃ τῷ] (ἀποκεκομμένον ἐν τῇ ᾤᾳ· ἀλλ' ἴδε κατωτέρω ἀρ. οζ'). + Σιναΐτῃ εἰ χρὴ συγκατα-

βαίνειν τοῖς πταίουσι καὶ καὶ μὴ [κατὰ λόγον αὐτοῖς] ἐπιτιμᾶν τὸν προσήκοντα.” Ἀρχ. Καὶ τοῦτο μὲν [ὑπὸ] τῶν ἄλλων ὦ θεία καὶ ἱερὰ κεφαλὴ τοῖς ἀρχαιοτέροις ἱστόρηται.—β΄ (φ. 6 α). “Τῷ τιμιωτάτῳ μοναχῷ κῦρ Μαξίμῳ τῷ Σμενιώτῃ· Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι πρόσκαιρον εἶχε τὸ σῶμα καὶ κατ᾽ ἀρχὰς ὁ ἄνθρωπος καὶ ὅτι φυσικοῖς ὑπέκειτο καὶ πρὸ τῆς παραβάσεως πάθεσι καὶ ὅτι βρῶσιν αἰσθητὴν ἐν παραδείσῳ ἤσθιε· καὶ ὅτι συκῆ τὸ ξύλον τῆς γνώσεως ἦν ὡς ἐκεῖνοι φασίν.” Ἀρχ. Ὅτι μὲν οὖν ὁ πρῶτος ἐκεῖνος ἄνθρωπος θανάτου καὶ φθορᾶς ὑπέρτερος ἦν ἀπ᾽ ἀρχῆς.—γ΄ (φ. 20 α). “Τῷ αὐτῷ καὶ περὶ τοῦ ὁποῖος ἦν ἀπ᾽ ἀρχῆς ὁ Ἀδὰμ κατά γε δόξαν ὁμοῦ καὶ λαμπρότητα.” Ἀρχ. Εἰ δὲ καὶ τοῦτο μαθεῖν ἐπιζητεῖς ὁσιώτατε ἄνερ.—δ΄ (φ. 21 α). “Τῷ αὐτῷ τίνος ἕνεκεν ὁ διάβολος διὰ τοῦ ὄφεως καὶ οὐ δι᾽ ἑτέρου τινὸς τῶν ζῴων προσέβαλε τῷ Ἀδὰμ καὶ τέως πόθεν· δῆλον ὅτι διὰ τοῦ ὄφεως προσέβαλε τῷ Ἀδὰμ, τῆς Γραφῆς ὁπουδήποτε μὴ σαφῶς οὕτω λεγούσης εἰ καὶ ἀληθὲς, τίνος ἕνεκεν ἡ Γραφὴ τοῦτο τέλεον ἔκρυψεν.” Ἀρχ. Ἐπειδὴ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν εὐαγγελίοις ἠκούσατε λέγοντος.—ε΄ (φ. 22 α). “Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἰωάννῃ τῷ Ἀσπιώτῃ, Περὶ τοῦ ὁποῖα τὴν φύσιν τὰ τῶν ἀνθρώπων σώματα ἐκ νεκρῶν ἐγερθήσονται καὶ εἰ βρῶσιν αἰσθητὴν ἐσθίειν ἐκεῖσε μέλλουσιν ὥς τινες ἐπιφέρουσιν.” Ἀρχ. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς ὁ σάρκα φορέσας.—ϛ΄ (φ. 28 α). “Ἔτι καὶ τοῦτο ἠπόρηται εἰ ἄρσεν καὶ θῆλυ τὰ τῶν ἀνθρώπων ἐγείρονται τότε σώματα.” Ἀρχ. Ἐφ᾽ οἷς ἠπόρηκας ὁσιώτατε ἄνερ· πῶς ἐκ νεκρῶν ἀναστήσονται τὰ τῶν ἀνθρώπων λέγων σώματα.—ζ΄ (φ. 36 α). “Τῷ αὐτῷ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι οὐ γνωρίσουσιν ἀλλήλους οἱ ἀναστησόμενοι τότε ἄνθρωποι· εἰ δὲ καὶ γνωρίσουσι, δικαίους μὲν ἁμαρτωλοὶ γνωριοῦσιν οὐ μὴν δὲ καὶ ἁμαρτωλοὺς οἱ δίκαιοι.” Ἀρχ. Εἰ δέ τις καὶ περὶ τοῦ γενησομένου τότε κοινοῦ ἀναγνωρισμοῦ μαθεῖν βούλεται.—η΄ (φ. 39 β). “Τῷ τιμιωτάτῳ μοναχῷ κῦρ Ἠσαΐᾳ Περὶ τοῦ εἴτε προκόπτειν οἱ δίκαιοι μέλλουσι κατά γε γνῶσιν καὶ δόξαν, εἴτε καὶ μὴ μετὰ τὴν ἐκεῖσε ἀποκατάστασιν.” Ἀρχ. Πρῶτον μὲν οὖν ἐπὶ τούτοις ἀναγκαῖον εἰπεῖν θεοείκελλε ἄνερ ὁποῖα τίς ἐστιν ἡ ἐκεῖσε τοῖς δικαίοις ἀποταμιευομένη κατάστασις.—θ΄ (φ. 41 β). “Τῷ αὐτῷ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι φθαρτὸς ἐστὶν ὁ παράδεισος καὶ ὅτι μετὰ τὸν σταυρὸν αὐτίκα οὐκ εἰσῆλθεν εἰς αὐτὸν ὁ λῃστής.” Ἀρχ. Εἰ δὲ καὶ περὶ αὐτοῦ βούλει τοῦ παραδείσου μαθεῖν ὁποῖος τὲ τὴν φύσιν ἐστὶ καὶ ὅπου μέχρι καὶ τήμερον ἕστηκε.—ι΄ (φ. 45 β). “Τίνος ἕνεκεν ἐν ἐσχάτοις καιροῖς ἐσαρκώθη ὁ Κύριος καὶ διατί μὴ πολλῷ πρότερον εἰς τὸν κόσμον ἐλήλυθε· καὶ γὰρ εἰ προλαβὼν ἐποίησε τοῦτο, οὐκ ἂν ἐξ ἀγνοίας ὁ ἀπειροπληθὴς ἐκεῖνος λαὸς ἐν ἀσεβείᾳ κατέλυσε τὴν ζωήν.” Ἀρχ. Καὶ τοῦτο τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἐπαποροῦντος οὕτω καὶ λέγοντος.—ια΄ (φ. 46 β). “Τῷ τιμιωτάτῳ μοναχῷ κῦρ Γρηγορίῳ τῷ Ἀκροπολίτῃ· Περὶ τοῦ εἴτε σφαιροειδὴς ἐστὶ καὶ ἀεικίνητος ὁ οὐρανός· εἴτε καὶ μὴ, κατὰ τὸν θεῖον Χρυσόστομον.” Ἀρχ. Ὅτι μὲν οὖν ὁ τὴν γλῶσσαν χρυσοῦς καὶ θεῖος Ἰωάννης τὰς ἀφορμὰς δῆθεν λαβών.—ιβ΄ (φ. 50 α). “Ἔτι καὶ τοῦτο ἠπόρηται· εἰ κατὰ τὴν πρώτην ἡμέραν παρήγαγε τὸ φῶς ὁ Θεὸς, τίνος ἕνεκεν κατὰ τὴν τετάρτην τοὺς φωστῆρας ἐδημιούργησεν.” Ἀρχ. Ὁ μὲν οὖν χρυσορρήμων καὶ θεῖος Ἰωάννης ἐν τῇ εἰς τὴν Ἑξαήμερον πέμπτῃ αὐτοῦ ὁμιλίᾳ.—ιγ΄ (φ. 51 β). “Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἠσαΐᾳ Εἰ κατ᾽ εἰκόνα τοῦ Θεοῦ ὁ ἡμέτερος ἔκτισται νοῦς, πῶς ἐν τῷ μὲν, συνετὸς ὁ τοιοῦτος ἐστὶν, ἐν τῷ δὲ, ἀσύνετος· καὶ τίνος ἕνεκεν εἴδει καὶ ἡλικίᾳ καὶ τοῖς λοιποῖς πρὸς ἀλλήλους διενηνόχασιν ἅπαντες.” Ἀρχ. Ὅτι μὲν οὖν κατ᾽ εἰκόνα τοῦ Θεοῦ ὁ ἡμέτερος ἔκτισται νοῦς.—ιδ΄ (φ. 52 β). “Τῷ αὐτῷ περὶ τοῦ πῶς δεῖ πρὸς Ἰουδαίους ἀπαντᾶν, ἡνίκα καὶ μᾶλλον ἐκεῖνοι τὸ κατὰ Χριστὸν ἐπιχειροῦσι διαστρέφειν μυστήριον.” Ἀρχ. Τοιοῦτόν τι πάσχειν ἔοικας ὁσιώτατε ἄνερ, ὁποῖον ἡ μέλισσα.—ιε΄ (φ. 63 β). “Ἔτι καὶ τοῦτο ἠπόρηται· Εἰ τὸ τῶν Ἑβραίων γένος ἐν ἐσχάταις ἡμέραις ἐπιστρέψει πρὸς Κύριον.” Ἀρχ. Ὅτι δὲ καὶ προσελεύσεται ἡ τῶν Ἰουδαίων συναγωγὴ τῷ Χριστῷ κατά γε τὸν τῆς συντελείας καιρόν.—ιϛ΄ (φ. 64 β). “Ἐπεξήγησις τῶν ἐν τῷ θείῳ τελουμένων λουτρῷ.” Ἀρχ. Εἰ δὲ καὶ τὰ κατὰ τὸ θεῖον λουτρὸν ἐπεξεργάσασθαι βούλει.—ιζ΄ (φ. 65 β). “Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἠσαΐᾳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι ὁ τὸ μοναχικὸν ἀμφιεννύμενος καὶ ἅγιον σχῆμα, τηνικαῦτα τῶν πλημμελειῶν αὐτοῦ τέλεον ἀπαλλάσσεται καὶ ἐν τῷ τέλει τῆς ζωῆς αὐτοῦ, τὸ τοιοῦτον φθάσῃ λαβεῖν.” Ἀρχ. Ὅτι μὲν οὖν διορατικός τις καὶ θεῖος ἀνὴρ διεβεβαιοῦτο λέγων.—ιη΄ (φ. 69 β). “Τῷ τιμιωτάτῳ μοναχῷ καὶ δομεστίκῳ κυρῷ Ἠσαΐᾳ Περὶ τοῦ ὁποῖον ἀπαντᾷ τέλος ταῖς ψυχαῖς χωριζομέναις τοῦ σώματος, καὶ ὅπου περ αὗται ἀπέρχονται.” Ἀρχ. Καὶ περὶ μὲν τῶν δικαίων τί χρὴ καὶ λέγειν.—ιθ΄ (φ. 71 β). “Τῷ αὐτῷ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι αἱ ἀπελθοῦσαι τῶν ἁγίων ψυχαὶ κατά τινα τόπον ἀναπαυόμεναι, οὔτε δέονται αὐτοπροσώπως ὑπὲρ ἡμῶν τῷ Χριστῷ παριστάμεναι, οὔτε τοῖς ἐνταῦθα ὅλως ἐφίστανται ✻ Καὶ περὶ ψυχῆς.” Ἀρχ. Οἱ ἀπελθόντες ἅγιοι καθὼς ἐδιδάχθημεν, οὔπω μὲν ἐκομίσαντο τὴν ἐπαγγελίαν.—κ΄ (φ. 73 β). “Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἀλυπίῳ τῷ ἐγκλείστῳ· Περὶ τοῦ πῶς ἡ μετάστασις τῆς ἀειπαρθένου γέγονε· καὶ εἰ ἀληθῶς ἐκ τάφου ἐγήγερται· κατὰ τὴν ἐκ νεκρῶν τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν ἔγερσιν.” Ἀρχ. Περὶ δὲ τῶν συμβεβηκότων τῇ ἀειπαρθένῳ τοῦ Κυρίου μητρὶ κατά γε τὴν αὐτῆς κοίμησιν τὶ χρὴ καὶ λέγειν.—κα΄ (φ. 76 α). “Τῷ μεγαλοδοξοτάτῳ μεγάλῳ ἑταιρειάρχῃ κυρῷ Ἰωάννῃ τῷ Δούκᾳ.” Ἀρχ. Κἀν τούτῳ διαπορουμένης τῆς εὐγενείας σου, πῶς ὑπέσχετο δοῦναι τοῖς μαθηταῖς ὁ Κύριος τὴν ἐπὶ δώδεκα θρόνων καθέδραν.—κβ΄ (φ. 77 β). “Τῷ τιμιωτάτῳ μοναχῷ καὶ δομεστίκῳ κυρῷ Ἠσαΐᾳ Εἰ κατὰ τὸ ὡρισμένον ὡς γέγραπται πρὸς τὸ πάθος ἑκὼν ἐλήλυθεν ὁ Κύριος διὰ τὴν τοῦ κόσμου σωτηρίαν, τίνος ἕνεκεν ἀγανακτεῖ κατὰ τῶν σταυρωσάντων αὐτὸν ἢ διατὶ τοῦ πατρὸς δέεται λέγων Ἀνάστησόν με καὶ ἀνταποδόσω (διώρθωται δι᾽ ἐρυθροῦ εἰς: ἀνταποδώσω) αὐτοῖς.” Ἀρχ. Ὅτι μὲν οὖν δι᾽ ἡμᾶς ὁ Θεὸς λόγος ἄνθρωπος γέγονε.—κγ΄ (φ. 79 α). “Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ὀνουφρίῳ Περὶ τοῦ τί χρὴ καὶ λέγειν ἐπὶ τῶν ἀπίστων μὲν ὄντων πορευομένων δὲ ὅμως κατ᾽ ἐντολήν.” Ἀρχ. Ὁ θεῖος Ἀναστάσιος περὶ τούτου καὶ τάδε φησίν.—κδ΄ (φ. 79 β). “Τῷ οἰκειοτάτῳ ἀνθρώπῳ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυρῷ Νικηφόρῳ τῷ Σιναΐτῃ· Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν· ὅτι τὸ διδόναι πτωχοῖς τῶν λοιπῶν εὐποιϊῶν καὶ προσφορῶν κρεῖττον ἐστὶ καὶ ὅτι τοὺς ἐλεημοσύνην ποιοῦντας, οὐ χρὴ κατά τι παρατηρεῖσθαι ὡς ἐκεῖνοι φασίν.” Ἀρχ. Εἰ δὲ καὶ παντὶ τῷ αἰτοῦντί σε δίδου τῆς ἁγίας Γραφῆς λεγούσης ἠκούσαμεν.—κε΄ (φ. 81 α). “Ἔτι καὶ τοῦτο ἠπόρηται· Εἰ τὰ μετὰ τὴν δωδεκαετίαν αὐτίκα παρ᾽ ἡμῶν πλημμελούμενα, εἰς κρίσιν ἀχθήσονται.” Ἀρχ. Ὅτι μὲν οὖν ὁ

ἡμέτερος νοῦς μετὰ τὴν δωδεκαετίαν δοκεῖ πως ἐπὶ τὸ πάγιον ἔρχεσθαι.—κϛ′ (φ. 82α). "Ἔτι καὶ τοῦτο ἠπόρηται περὶ τῶν γιγάντων ἐκείνων, εἴτε μόνον εὐσθενεῖς ὑπῆρχον, εἴτε καὶ ὑπερμεγέθη σώματα ἔφερον." Ἄρχ. Ὁ μὲν οὖν θειότατος Κύριλλος καὶ τὴν ἐξ ἀρχῆς αὐτῆς τῶν γιγάντων ἐκείνων ἀναγράφων γένεσιν.—κζ′ (φ. 82β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Μαξίμῳ τῷ Σμενιώτῃ· Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι λαβὼν ὁ Χριστὸς ἄζυμον ἐν τῇ ἑσπέρᾳ τῆς μεγάλης Πέμπτης ὡς καὶ τῆς ἑορτῆς τοῦ Πάσχα τηνικαῦτα δῆθεν ἐστηκυίας τὸ οἰκεῖον Πάσχα ἐτέλεσε." Ἄρχ. Ὁ περὶ τῶν ἀζύμων λόγος ὦ θεία καὶ ἱερὰ κεφαλή.—κη′ (φ. 94α). "Τῷ αὐτῷ περὶ χρήσεων τινῶν· ὅτι ἐκ μόνου τοῦ πατρὸς οὐ μὴν καὶ ἐκ τοῦ υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ὅτι οὐ ταυτὸν ἀποστολὴ καὶ ἐκπόρευσις." Ἄρχ. Τί δέ σοι καὶ περὶ τῆς ἀρρήτου τοῦ παναγίου Πνεύματος ἐκπορεύσεως ἀποκριθείην ἐγώ.—κθ′ (φ. 100β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ὀνουφρίῳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι ἐπὶ πᾶσι καὶ διὰ πάντων ὁ διάβολος ἐστὶ προταίτιος ἐν ἡμῖν τῶν κακῶν." Ἄρχ. Ὅτι μὲν οὖν ἡγιασμένε μοι πάτερ σπορεὺς τῆς κακίας καὶ τῶν παθῶν εὑρετὴς ἀρχῆθεν ὁ διάβολος γέγονε.—λ′ (φ. 102β). "Τίνος ἕνεκεν ὁ Χριστὸς καὶ διατὶ παρὰ τῇ Γραφῇ καὶ λίθος καλεῖται καὶ μάργαρος." Ἄρχ. Καὶ λίθος μὲν ἁπλῶς οὕτω καλεῖται κατὰ τὸν θειότατον Κύριλλον.—λα′ (φ. 103α). "Τὰ δὲ κατὰ τὸν ἀδάμαντα πῶς ἐκληπτέον." Ἄρχ. Ἔστι καὶ λίθος ἀδάμας οὕτω καλούμενος.—λβ′ (φ. 103β). "Πότε χρὴ λέγειν τὴν τοῦ Κυρίου γενέσθαι σύλληψιν." Ἄρχ. Καὶ τοῦτο μετὰ τῶν ἄλλων εἰδέναι σε χρὴ θεοείκελε ἄνερ.—λγ′ (φ. 104β). "Πῶς δὲ ἐκληπτέον καὶ τὸ τοῦ ἐν ἁγίοις Θεοδώρου τοῦ Στουδίτου τροπάριον τὸ οὕτω λέγον· Βάθει τῶν κριμάτων σου Χριστὲ πανσόφως σὺ προώρισας ἑκάστου τέλους ζωῆς τὸν τόπον καὶ τὸν τρόπον· διὸ οὓς ἐκάλυψε τάφος ἐν πάσῃ χώρᾳ ἐν τῇ κρίσει σῶσον πανοικτίρμον." Ἄρχ. Πρὸς τὸ εὐσεβέστερον δῆθεν τινὲς ἀποκλίνοντες.—λδ′ (φ. 105α). "Τῷ πανσεβάστῳ σεβαστῷ κυρῷ Κωνσταντίνῳ τῷ Παλαιολόγῳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι προωρισμένα εἰσὶ τὰ καθ' ἡμᾶς πάντα αἱ ἀρεταί· αἱ κακίαι· αἱ εὐπραγίαι· οἱ πειρασμοὶ καὶ αὐτὸς ὁ θάνατος." Ἄρχ. Εἰ δὲ καὶ ἀπαιδεύτους τὰ θεῖα καὶ ἀμυήτους τινὰς οἱ τοῦ προορισμοῦ καὶ τῆς εἱμαρμένης λόγοι διαταράττουσι.—λε′ (φ. 116β). "Τῷ αὐτῷ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι ὅρῳ ὑπόκειται ἡ ἑνὸς ἑκάστου τῶν ἀνθρώπων ζωή." Ἄρχ. Ὅτι μὲν οὖν οὐκ εὐσεβὴς εἶναι δοκεῖ.—λϛ′ (φ. 132α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Στεφάνῳ διαπορουμένῳ πῶς ἐξ ἀντιφράξεως τοῦ οὐρανίου σώματος τὸν ἐναπολειφθέντα ἐντὸς ἀέρα, σκότος βαθὺ διεδέξατο." Ἄρχ. Ὅτι μὲν οὖν ὁσιώτατε ἄνερ ἀπορίαν οὐ τὴν τυχοῦσαν ἡμῖν ἐνῆκεν ὁ μέγας Βασίλειος ἐν τῇ Ἑξαημέρῳ αὐτοῦ.—λζ′ (φ. 133β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἀλυπίῳ τῷ ἐγκλείστῳ Εἰ χρὴ τὴν μαθηματικὴν ἐπιστήμην ἀποτρόπαιον ἡγεῖσθαι παντάπασι." Ἄρχ. Τὰ τῆς μαθηματικῆς ἐπιστήμης εἰς δύο ταῦτα θεοείκελε ἄνερ ἀστρονομίαν τὲ καὶ ἀστρολογίαν διήρηται.—λη′-λθ′ (φ. 136α). "Ἀνταπολογιτικὸν ἐκ μέρους πρὸς τὴν ἐγχειρισθεῖσαν αὐτῷ γραφὴν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ τὴν ἀπολυθεῖσαν πρός τινα μοναχὸν ἐπιμεμψάμενον οὐ μικρῶς αὐτῷ διά γε τὸ τῆς ἀστρολογίας μάθημα καὶ φιλονεικοῦσαν τὸ τοιοῦτον συστήσασθαι μάθημα φυσικαῖς καὶ γραφικαῖς ἀποδείξεσι." Ἄρχ. Τολμῶν ὑπομ[νῆσαι ὅτι] τὸ προγονὸς γράμμα τῆς βασιλείας σου καὶ εἰς ἐμὰς ἤδη χεῖρας ἐλήλυθε· καὶ ἐν πρώτοις μὲν ἀναγνούς, καὶ περιεπτυξάμην αὐτὸ καὶ θερμῶς κατεφίλησα. Τὸ τέλος ταύτης τῆς Ἐπιστολῆς, ἥτις ἔφερεν ἐν τῷ πρωτογράφῳ τὸν ἀριθμὸν μ′, ὡς καὶ ἡ ἀρχὴ τῆς ἑπομένης, τῆς ὑπ' ἀρ. μα′, λείπουσιν ἐν τῷ ὑπ' ὄψιν κώδικι, καθ' ἃ διδασκόμεθα ἐκ τοῦδε τοῦ σημειώματος κάτω ἐν τῇ ᾤᾳ τοῦ φ. 142β· ✝ Λείπει τὸ τέλος τοῦ μ′ κεφαλαίου καὶ ἡ ἀρχὴ τοῦ μα′. Τελευτᾷ δὲ τὸ φ. 142β ὧδε· κἀντεῦθεν ἀγαθοποιὸς ἅτε Κρόνου μέσον καὶ Ἄρεος κείμενος, τί χρὴ καὶ λέγειν εἴ γε καὶ τὰ κατ' αὐτὴν οὐκ ἀσφαλῶς ἔχειν ἔοικεν ει απολλων σ̄γυμνασθῆναι τοίνυν κατὰ τὸ | φ. 143α | ὁ προφήτης τοῦ Θεοῦ Δανιὴλ καὶ ὃς αὐτίκα δεηθεὶς τοῦ Θεοῦ, τό τε τοῦ βασιλέως παράδοξον ὅραμα.—μ′ (φ. 144α). "Τῷ πανσεβάστῳ σεβαστῷ κῦρ Κωνσταντίνῳ τῷ Παλαιολόγῳ· εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι καὶ ὁ μέγας Παῦλος εἷς ἐστὶ τῶν δώδεκα τοῦ Χριστοῦ μαθητῶν." Ἄρχ. Εἰ δὲ καὶ περὶ τοῦ μακαρίου Παύλου ἠπόρηκας εὐγενέστατε ἄνερ.—μα′ (φ. 145α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ὀνουφρίῳ Περὶ τῆς τετραμόρφου ὀπτασίας ἣν ὁ προφήτης εἶδεν Ἰεζεκιὴλ καὶ ὅπως αὐτὴν εἰς τοὺς τέσσαρας εὐαγγελιστὰς ἐξελάβοντο." Ἄρχ. Ἔδει μὲν ἡμᾶς ἀδελφὲ Ὀνούφριε οἷς καὶ μᾶλλον γωνία καὶ σκότος τὸ ἐπιτίμιον ἐγγωνιάζειν ἀεὶ καθ' ἑαυτοὺς καὶ συστέλλεσθαι.—μβ′ (φ. 146β). "Τῷ μεγαλοδοξοτάτῳ κῦρ Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ Περὶ τοῦ πῶς ὁ Θεολόγος λαμπροτέραν τὴν ἡμέραν τῶν Φώτων ἐκάλεσε τῆς τοῦ Χριστοῦ γεννήσεως ἣν ὁ χρυσορρήμων Ἰωάννης τῶν λοιπῶν ἑορτῶν ὀνομάζει μητρόπολιν." Ἄρχ. Εἰ δὲ καὶ σὺ μετὰ τῶν ἄλλων εὐγενέστατε ἄνερ τοῦ Θεολόγου Γρηγορίου ἤκουσας.—μγ′ (φ. 147α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἀλυπίῳ τῷ ἐγκλείστῳ περὶ τοῦ τίς τε καὶ πόθεν ἡ κατὰ τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν τεσσαρακοστὴ καὶ διατὶ σὺν τῷ τρίτῳ γάμῳ μὴ καὶ τέταρτος συγκεχώρηται." Ἄρχ. Πολλοὶ μὲν οὖν καὶ πολλάκις, ὦ θεία καὶ ἱερὰ κεφαλή, περὶ τῆς κατὰ τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν διηπορήκασι τεσσαρακοστῆς.—μδ′ (φ. 150β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Μελετίῳ τῷ Κριτοπούλῳ εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι οὐκ ἐπάναγκες ἡμῖν τὸ ἐν Τετραδοπαρασκευαῖς νηστεύειν τοῦ Κυρίου λέγοντος ὅτι οὐ τὰ εἰsερχόμενα κρινοῖ τὸν ἄνθρωπον ἀλλὰ τὰ ἐξερχόμενα." Ἄρχ. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἡνίκα πρὸς αὐτὸν οἱ Φαρισσαῖοι ἔλεγον διατὶ οἱ μαθηταί σου χερσὶν ἀνίπτοις ἐσθίουσι.—με′ (φ. 152β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἡσαΐᾳ εἰ χρὴ κρέας ἐσθίειν ἐν ἡμέρᾳ Τετράδι τυχὸν ἢ Παρασκευῇ δεσποτικῶν ἐμπιπτουσῶν ἑορτῶν καὶ εἰ ἐπάναγκες ἡμῖν τοῦτο καθὰ τινὲς οἴονται." Ἄρχ. Καὶ σήμερον ἐρωτηθέντες παρὰ τῆς σῆς ὁσιότητος.—μϛ′ (φ. 155β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Νείλῳ εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι μὴ τὸ ἐξεικονισθῆναι τὸ ἔμβρυον τὴν νοερὰν ψυχὴν δέχεσθαι εἴωθε." Ἄρχ. Καὶ περὶ μὲν τῶν ἔξωθεν τί χρὴ καὶ λέγειν ἐπειδὴ γὰρ τὸν δημιουργὸν ἡμῶν Θεόν.—μζ′ (φ. 157α). "Τῷ αὐτῷ περὶ τοῦ τί χρὴ καὶ λέγειν περὶ τῆς ἐξόδου τῶν ἐν Κυρίῳ τελευτώντων καὶ ὅπως αὐτοὶ τῶν ὧδε ἀπαίρουσιν καὶ ὅτι τοῦ ἁμαρτάνειν ἡμεῖς ἐσμὲν αἴτιοι οὐ μὴν ἡ φύσις αὐτή."—Ἄρχ. Οἱ ἅγιοι διὰ τὴν ἀνάγκην ἐκείνην ἣν ὑφίσταται ψυχορραγῶν ὁ ἄνθρωπος.—μη′ (φ. 158α). "Τῷ αὐτῷ τί χρὴ καὶ λέγειν ἐπὶ ταῖς γενομέναις εὐποιΐαις τῶν ἀπελθόντων ἕνεκεν καὶ εἰ παντελῶς ἀπαλάττειν αυται ἰσχύουσι τῶν ἁμαρτημάτων αὐτούς." Ἄρχ. Ὅτι μὲν οὖν οὐ χρὴ κατά τι διστά-

ζειν ἐπὶ ταῖς γινομέναις εὐποιΐαις παρά τινων.—μθ' (φ. 160 α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἡσαΐᾳ Περὶ τοῦ πῶς δεῖ τὸ εὐαγγελικὸν καὶ θεῖον ἐκλαμβάνειν ῥητὸν τὸ λέγον· οὗτος ἥμαρτεν ἢ οἱ γονεῖς αὐτοῦ ἵνα τυφλὸς γεννηθῇ." Ἀρχ. Εἰ δὲ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἠπόρηκας ὦ ἱερὰ κεφαλὴ πῶς οἱ μαθηταὶ τοῦ Χριστοῦ καὶ Ἀπόστολοι.—ν' (φ. 162 α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Λεοντίῳ τῷ ἐγκλείστῳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι μετανοίᾳ περὶ τὸ τέλος ὁ Σολομῶν ἐχρήσατο." Ἀρχ. Εἰ δέ τις καὶ περὶ τοῦ σοφοῦ Σολομῶντος μαθεῖν βούλεται.—να' (φ. 165 α). "Τῷ μεγαλοδοξοτάτῳ μεγάλῳ ἑταιρειάρχῃ καὶ σεβαστῷ κῦρ Ἰωάννῃ τῷ Δούκᾳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι καὶ ἡ τοῦ Κυρίου μήτηρ ἐγκυμονοῦσα, τὸ τοῦ ἐλεγμοῦ ὕδωρ ἔπιεν." Ἀρχ. Ὅτι μὲν οὖν ὦ θεία καὶ ἱερὰ κεφαλὴ καὶ περὶ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ πολλοὶ πολλὰ δογματίζουσι.—νβ' (φ. 169 α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Χαρίτωνι, Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι ἱερεὺς ὁ Χριστὸς παρὰ Ἰουδαίοις κεχειροτόνηται." Ἀρχ. Ὅτι μὲν οὖν εὕρηται χάρτης ὦ τιμία καὶ ἱερὰ κεφαλὴ πάλαι συγγραφῆναι φαινόμενος.—νγ' (φ. 174 β). "Τῷ αὐτῷ Περὶ τοῦ εἴτε τὸ διὰ θανάτου τέλος ὁ εὐαγγελιστὴς Ἰωάννης ἐδέξατο εἴτε καὶ μή." Ἀρχ. Ὅτι μὲν οὖν ὁ τὰ τῶν Ἀποστόλων συγγραψάμενος ὑπομνήματα καὶ αὐτὸς ὁ ἐν μάρτυσι μέγας Ἱππόλυτος.—νδ' (φ. 176 α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Νεκταρίῳ Περὶ τοῦ Ἰούδα εἴτε τῇ ἀγχόνῃ ἐναπέψυξε κατὰ τὴν εὐαγγελικὴν ἱστορίαν· εἴτε μετὰ ταῦτα ἐπιζήσας ὥς φασι τινὲς ὑδέρῳ περιέπεσε καὶ οὕτως τὸ τοῦ βίου τέλος ἐδέξατο." Ἀρχ. Τὸν μὲν οὖν ἱστορικὸν ἐκεῖνον Παππίαν μέγα τὸν Ἰούδαν ἀσεβείας ὑπόδειγμα περιπατῆσαι τῷ κόσμῳ λέγοντα ὕστερον.—νε' (φ. 177 β). "Τῇ περιποθήτῳ ἀνεψιᾷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυρᾷ Θεοδώρᾳ ἀθυμούσῃ σφόδρα καὶ τὴν ἑαυτῆς ἀπογινωσκούσῃ σωτηρίαν δι' ὃν ἐτόλμησε φόνον ἐπί τινι γυναικὶ ζηλοτυπίας ἕνεκεν." Ἀρχ. Ναὶ καὶ δεδιέναι προσήκει τὸ τοῦ θανάτου αἰφνίδιον.—νϛ' (φ. 181 β). "Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι ἀποφάσει μόνῃ καὶ οὐκ ἀληθείᾳ εἰσῆλθεν εἰς τὸν παράδεισον ὁ λῃστής." Ἀρχ. Τοῦ μεγάλου Παύλου τινὲς ἀκούσαντες περί τινων ἐν ἀρετῇ διαλαμψάντων διεξιόντος οὕτω καὶ λέγοντος.—νζ' (φ. 183 α). "Ἔτι καὶ τοῦτο ἠπόρηται εἴτε φθαρτή ἐστιν ἡ ἁγία τοῦ Χριστοῦ μετάληψις εἴτε καὶ ἄφθαρτος." Ἀρχ. Οἶδα μὲν οὖν ἀγαπητὲ ὅτι τῷ ἰδίῳ παρασυρόμενοι τινὲς λογισμῷ.—νη' (φ. 184 α). "Ἔτι καὶ τοῦτο ἠπόρηται εἴπερ οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱός· καὶ οὐδεὶς οἶδε τὸν υἱόν, εἰ μὴ ὁ πατήρ· περὶ τοῦ κυριακοῦ ἀνθρώπου τί χρὴ καὶ λέγειν· ἠπόρηται γὰρ εἴτε τὴν θείαν οἶδε φύσιν εἴτε καὶ μή." Ἀρχ. Τὸ περὶ τοιούτων ἐξετάζειν ὦ ἱερὰ κεφαλή, καὶ λίαν ἐστὶ τολμηρόν.—νθ' (φ. 184 β). "Ὅτι ἄλυτος ἐστὶν ὁ παρὰ τῶν ἱερέων ἐπαγόμενος δεσμὸς καὶ ὅτι κατ' ἐξουσίαν ἀρχιερατικὴν καὶ οὐ κατ' ἔχθραν ὁ ἁγιώτατος πατριάρχης κῦρ Θεοδόσιος ἀφορισμῷ καθυπέβαλε τῶν ἀρχόντων τινὰς ἡνίκα τῆς ἐκκλησίας ἀποσπάσαι τοὺς πρόσφυγας παρὰ τῶν κρατούντων ἐστάλησαν." Ἀρχ. Εἰ δὲ καὶ τοῦτο ζητεῖς ἀγαπητὲ μαθεῖν εἴ γε δυνατὸν ἐστὶ τὸν παρὰ τοῦδε τοῦ ἱερέως ὑποβληθέντα δεσμῷ ἑτέρῳ προσελθεῖν ἱερεῖ.—ξ' (φ. 190 β). "Ἔτι καὶ τοῦτο ἠπόρηται εἰ τελείαν ἄφεσιν εὑρίσκει τῶν ἁμαρτημάτων ὁ προσερχόμενος τῷ Κυρίῳ." Ἀρχ. Δέον εἰδέναι σε ἀγαπητὲ ὅτι κατὰ τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχομεν πρὸς τὸν Κύριον.—ξα' (φ. 191 β). "Τῷ ἀνεψιῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως κυρῷ Ἀλεξίῳ τῷ Κοντοστεφάνῳ, ὅτι οὐκ ἔξεστι τοῖς ἐν ἁμαρτίᾳ ζῶσιν, εἰς ἐκκλησίαν Θεοῦ εἰσέρχεσθαι καὶ ὅτι τὰ προσαγόμενα τῷ Θεῷ παρ' αὐτῶν οὐκ εὐπαράδεκτα." Ἀρχ. Ἔδει μὲν οὖν εὐγενέστατε ἄνερ μὴ βαρυθυμεῖν ὅλως ἡμᾶς.—ξβ' (φ. 197 α). "Καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἠπόρηται· Εἰ κατὰ πάντα καιρὸν συναφείαις κεχρῆσθαι τοῖς ὁμοζύγοις οὐκ ἔξεστιν." Ἀρχ. Εἰ καὶ τίμιος ὁ γάμος κατὰ Παῦλον εἰπεῖν καὶ ἡ κοίτη ἀμίαντος.—ξγ' (φ. 198 β). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἡσαΐᾳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι οὐ συμφέρει τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις." Ἀρχ. Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν εὐαγγελίοις οὕτω λέγοντος.—ξδ' (φ. 205 α). "Τί δὲ χρὴ καὶ ἐπὶ τῷ τιμίῳ Σταυρῷ τοῦ Χριστοῦ φρονεῖν τε καὶ λέγειν." Ἀρχ. Εἰ δὲ καὶ τὸν Σταυρὸν αὐτὸν εἰς οὐρανοὺς μὲν ἀναληφθῆναι δοκεῖ.—ξε' (φ. 206 α). "Ἔτι καὶ τοῦτο ἠπόρηται εἰ τὴν Εὔαν ἀφυπνισθεὶς ὁ Ἀδὰμ ἐγνώρισε προφητικῷ δῆθεν χαρίσματι, καὶ ἠγνόησε τὴν ἐπισυμβησομένην αὐτῷ βλάβην ἐκ τῆς βρώσεως τοῦ φυτοῦ· διατὶ δὲ καὶ τὸ φυτὸν ἐκεῖνο καλοῦ καὶ πονηροῦ γνωστόν, ἡ ἁγία κατὀνομάζει Γραφή." Ἀρχ. Ἐπειδὴ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἠπόρηται τέκνον μοι φίλτατον.—ξϛ' (φ. 208 α). "Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Βαρλαὰμ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι οὐκ ἔξεστι καταλύειν ἐν κρέατι ὁπηνίκα δεσποτικαὶ συνεμπίπτουσιν ἑορταὶ Τετράδι τυχὸν ἢ Παρασκευῇ· καὶ ὅτι οὐκ ἐπάναγκες ἡμῖν τὸ νηστεύειν ἑβδομάδα μίαν, μετὰ τὴν τῆς Πεντηκοστῆς ὅλης ἑορτήν." Ἀρχ. Οἶδα μὲν οὖν ὁσιώτατε ἄνερ καὶ οὐκ ἀγνοῶ τὸν ἀποστολικὸν ἑξηκοστὸν ἔννατον κανόνα.—ξζ' (φ. 211 α). "Τῷ πανεντιμοτάτῳ καὶ ἐν Κυρίῳ ἡμῶν ἀδελφῷ κυρῷ Ἰωάννῃ τῷ Τρυχᾷ· Περὶ τοῦ, τί τὸ εἶδος τῆς βασιλείας τῶν οὐρανῶν καὶ ποταπὸν ἐκεῖνο τὸ πῦρ τί τε τὸ ἐξώτερον σκότος καὶ κατὰ φύσιν ὁποῖος ἐστὶν ὁ σκώληξ ὁ ἀκοίμητος." Ἀρχ. Εἰ δὲ καὶ περὶ τοῦ αἰωνίου πυρὸς ἐκείνου καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιοῖς ἀγαπητὲ μαθεῖν.—ξη' (φ. 216 α). "Τῷ αὐτῷ Εἰ χρὴ καὶ τοῖς τυχοῦσι πατράσι τὴν ἐξαγόρευσιν γίνεσθαι καὶ εἰ ὠφέλιμος αὕτη." Ἀρχ. Ὅτι μὲν οὖν ἀγαπητὲ μέγα καὶ ὠφέλιμον ἐστὶ τὸ πνευματικοῖς ἐξαγορεύεσθαι πατράσι τὰ πλημμελήματα.—ξθ' (φ. 219 β). "Τῷ αὐτῷ Περὶ τοῦ ὅτι μέγα τι καρτερεῖν ἐν πειρασμοῖς καὶ μὴ τῶν ἐπηρεαζόντων κατέχεσθαι." Ἀρχ. Ὅτι μὲν οὖν ἀδελφὲ Ἰωάννη μέγα εἶναι δοκεῖ καὶ τὸ ὄντι δυσβάστακτον ἄχθος ἀνθρωπίνῃ φύσει τὸ καρτερεῖν.—ο' (φ. 221 α). "Τῷ αὐτῷ διαπορουμένῳ εἰ καὶ τὰ ἄλογα ζῷα κέκτηνται σύνεσιν." Ἀρχ. Καὶ τοῦτο μετὰ τῶν ἄλλων εἰδέναι σε ἄξιον· ὅτι καὶ πάντα τὰ ἄλογα ζῷα γνῶσιν ἐσχήκασι θαυμαστὴν ἐκ Θεοῦ.—οα' (φ. 222 α). "Τῷ αὐτῷ διαπορουμένῳ περὶ τοῦ ῥητοῦ ἐκείνου τοῦ λέγοντος Δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ." Ἀρχ. Εἰ δὲ καὶ σκοτεινή τις ἐστὶ καὶ δυσθεώρητος ἡ ῥῆσις.—οβ' (φ. 224 α). "Τῷ αὐτῷ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι μείζων ὁ Παῦλος Ἰωάννου τοῦ βαπτιστοῦ." Ἀρχ. Ὅτι μὲν οὖν ὁ τὴν γλῶτταν χρυσοῦς ἔν τισι τῶν αὐτοῦ συνταγμάτων ἀποδεῖξαι τὸν μακάριον Παῦλον Ἰωάννου τοῦ βαπτιστοῦ μείζονα καὶ λίαν ἐσπούδασεν.—ογ' (φ. 225 β). "Τῷ αὐτῷ πῶς νοητέον τὸ ἐν τῇ Ἀποκαλύψει τοῦ Θεολόγου εὐαγγελιστοῦ Ἰωάννου εὑρισκόμενον ῥητὸν τὸ λέγον· Εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι." Ἀρχ. Ἰστέον ὅτι ἐν ἑξηκοστῷ πέμπτῳ κεφαλαίῳ τῆς Ἀποκαλύψεως τοῦ εὐαγγελιστοῦ καὶ θείου Ἰωάννου.—οδ' (φ. 226 α). "Τῷ πανσεβάστῳ σεβαστῷ κῦρ Κωνσταντίνῳ τῷ Παλαιολόγῳ Εἰ χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι

κατὰ περιόδους ἀστέρων οἱ ἀπ' ἀρχῆς ἐκεῖνοι καὶ πρῶτοι ἄνθρωποι πολυετεῖς ἀνεφάνησαν." Ἀρχ. *Ὅτι μὲν οὖν οἱ τῶν Ἑλλήνων σοφοὶ ὦ θεία καὶ ἱερὰ κεφαλὴ τῇ τῶν οὐρανίων κινήσει.*—οε' (φ. 229 β). "*Τῷ τιμιωτάτῳ μοναχῷ δομεστίκῳ κυρῷ* Νικολάῳ *διαπορουμένῳ καὶ μᾶλλον εἴ γε κατὰ κανόνας εἰρημένον ἐστὶ τὸ* Κακώθητι *καὶ ἀπόθανε, καὶ εἴ γε πρὸς ἀνάγκης ἔχουσι, κακοῦσθαι καὶ τελευτᾶν οἱ μονάζοντες.*" Ἀρχ. *Οἶδα μὲν οὖν ὁσιώτατε ἄνερ ὅτι καὶ ἀμφιβάλλεις ἐπὶ τῷδε τῷ λέγοντι.*—οϛ' (φ. 231 β). "*Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ* Ἰωαννικίῳ *τῷ γραμματικῷ* Περὶ *τοῦ πῶς ὀνομάζει πνευματικὸν ὁ* Ἀπόστολος *τὸ σῶμα ἐκεῖνο τὸ ἐκ νεκρῶν ἀναστησόμενον.*" Ἀρχ. *Ἀκούων ὦ ἄνθρωπε τοῦ Θεοῦ τοῦ μεγάλου Παύλου λέγοντος ὅτι σπείρεται σῶμα ψυχικὸν ἐγείρεται σῶμα πνευματικόν.*—οζ' (φ. 233 α). "*Τῷ τιμιωτάτῳ μοναχῷ καὶ στυλίτῃ κυρῷ* Ἰωάννῃ *τῷ Σιναΐτῃ*· Εἰ *χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι τὴν εὐαγγελικὴν φωνὴν τὴν οὕτω λέγουσαν* Ὁ *πατήρ μου μείζων μου ἐστὶν, οὐ δέον ἐκλαμβάνεσθαι καὶ κατ' αὐτὸ τοῦ Χριστοῦ τὸ ἀνθρώπινον μιᾶς οὔσης τῆς ὑποστάσεως.*" Ἀρχ. *Καὶ δι' ἄλλα μὲν ἅπερ οὐδ' αὐτὸς ἀγνοεῖς ὁσιώτατε ἄνερ· μείζων λέγεται τὸν ἑαυτοῦ πατέρα καλεῖν ὁ Κύριος.*—οη' (φ. 244 α). "*Τῷ πανεντίμῳ καὶ ἐν Κυρίῳ πνευματικῷ ἀδελφῷ κυρῷ* Ἰωάννῃ *τῷ* Τριχᾷ· Περὶ *τοῦ, ὅτι νοῦς καὶ ψυχὴ ταυτόν ἐστι κατὰ φύσιν εἰ καὶ τοῖς ὀνόμασι διαλάττουσι.*" Ἀρχ. *Οἶδα μὲν οὖν ἀδελφὲ Ἰωάννη ὅτι καὶ τοὺς περὶ ψυχῆς καὶ νοὸς λόγους μαθεῖν ἀξιοῖς.*—οθ' (φ. 246 β). "*Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ* Ἰωαννικίῳ *τῷ γραμματικῷ* Εἰ *χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι οὐκ ἔξεστι καταλύειν ἔν γε* Τετράδι *καὶ* Παρασκευῇ *τὰ τῆς νηστείας εἰ καὶ τύχῃ συμπεσεῖν αὐταῖς οἱανδήτινα δεσποτικὴν ἑορτήν.*" Ἀρχ. *Ὅτι μὲν οὖν ὁσιώτατε ἄνερ ἐν νηστείᾳ διάγειν ὁ πιστὸς ὀφείλει λαός.*—π' (φ. 253 α). "*Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ* Ἀλυπίῳ *τῷ ἐγκλείστῳ* Περὶ *τοῦ εἰ ἐστὶ τὶς διαφορὰ παρά τε τοῖς μάρτυσι παρά τε τοῖς ὁσίοις αὐτοῖς.*" Ἀρχ. *Εἰ δὲ καὶ τοῦτο βούλει μαθεῖν ὁσιώτατε ἄνερ εἴ γε διαφορὰ τίς ἐστιν ἔν γε τοῖς μάρτυσι καὶ τοῖς ἀσκηταῖς.*—πα' (φ. 254 α). "*Τῷ αὐτῷ* Περὶ *διαφορᾶς πρώτου τὲ καὶ δευτέρου γάμου.*" Ἀρχ. *Εἰ δὲ καὶ περὶ διαφορᾶς πρώτου τε καὶ δευτέρου γάμου βούλει μαθεῖν.*—πβ' (φ. 255 α). Τέλος ἐπιστολῆς ἀκεφάλου, ἧς ἡ ἀρχὴ μετὰ καὶ τῆς ἐπιγραφῆς ἀπώλετο, ἐκπεσοῦσα μεταξὺ τῶν φ. 254 β καὶ 255 α. Τὸ δὲ σῳζόμενον τέλος ἄρχεται μὲν ὧδε· ...*εἶναι τὸ τοιοῦτον ὑπέρτερον εἰ καὶ μετὰ τὸ βρωθῆναι πρὸς ἀφθαρσίαν.* τελευτᾷ δὲ· *τῇ σῇ δὴ πάντως ἔξεστι λογιότητι καὶ διασκέψασθαι τὰ λεγόμενα καὶ τὴν ἀμφιβολίαν ἐκ μέσου ποιήσασθαι καὶ γυμνὴν ὡς ἔθος ὑποτυπώσασθαι τὴν ἀλήθειαν.*—πγ' (φ. 255 α). "*Ἔτι καὶ τοῦτο ἠπόρηται·* Εἰ *μετὰ θάνατον αὐτίκα ἡ ψυχὴ σωματικῷ πυρὶ παραδίδοται.*" Ἀρχ. *Ὁ Διάλογος θεῖος Γρηγόριος καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐρωτηθεὶς παρὰ τοῦ διακόνου ἐκείνου Πέτρου.*—πδ' (φ. 256 α). "*Τῷ αὐτῷ* Περὶ *τοῦ πῶς οἱ προφῆται προεφήτευσαν ὅπως ἠξιοῦντο θείων ὀπτασιῶν.*" Ἀρχ. *Εἰ δὲ καὶ τοῦτο βούλει μαθεῖν ὁσιώτατε ἄνερ ὅπως οἱ διὰ πράξεως καθαρθέντες.*—πε' (φ. 257 β). "*Τῷ αὐτῷ·* Εἰ *χρὴ προσέχειν τοῖς λέγουσιν·* Ὅτι *πρός γε τοῖς ἄλλοις καὶ τὴν θείαν οὐσίαν ἐπιγνώσονται τότε μετὰ ἀκριβείας οἱ ἄνθρωποι.*" Ἀρχ. *Τοῦ μεγάλου Παύλου τινὲς ἀκούσαντες οὕτω λέγοντος ἐκ μέρους ἄρτι γινώσκομεν.*—πϛ' (φ. 259 α). "*Τῷ αὐτῷ* Περὶ *τοῦ ὅτι κατ' οὐδὲν οἱ προλαβόντες ὠφελοῦσι κόποι τοὺς ὁπωσδήποτε τὸ τέλος διαφθείροντας· καὶ ὅτι τὸ καταλαλῆσαί τινα τοῦ προεστῶτος αὐτοῦ καὶ λίαν ἐστὶ βλαβερόν.*" Ἀρχ. *Ἀναγκαῖον εἰδέναι σε καὶ τοῦτο τιμιώτατε ἄνερ ὅτι ὁ μοναχὸς ἐκεῖνος.*—πζ' (φ. 261 β). "*Πῶς δὲ καὶ τὸ χρυσοστομικὸν ἐκεῖνο ῥητὸν ἐκλαμβάνεσθαι χρὴ τὸ λέγον* Ἐπόρνευσέ *τις μετὰ τὸ φώτισμα· οὐδὲ παραμυθία λείπεται τῷ ἁμαρτήματι λοιπόν.*" Ἀρχ. *Εἰ δὲ καὶ τοῖς ἄλλοις ὁ χρυσορρήμων Ἰωάννης φορτικὸς ἔδοξε λέγων ὅτι οὐδὲ παραμυθία λείπεται τῷ ἁμαρτήματι λοιπόν.*—πη' (φ. 262 α). "*Τῷ τιμιωτάτῳ καὶ λογιωτάτῳ κῦρ* Ἰωαννικίῳ *τῷ γραμματικῷ·* Εἰ *χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι ὁ ἐν* Κορίνθῳ *τῇ μητρυᾷ αὐτοῦ συμφθαρεὶς οὐ δαίμονι παρεδόθη ἀκαθάρτῳ εἰς ὄλεθρον τῆς σαρκός· ἀλλὰ ἀφορισμὸν ἐκεῖνος ἐδέξατο τὸ ἐπιτίμιον.*" Ἀρχ. *Ὁ μακάριος Παῦλος ἔφθασε δια τὸν ἐν Κορίνθῳ ἐπὶ τῇ μητρυᾷ αὐτοῦ ἀσχημονήσαντα, τοιαῖσδε χρήσασθαι λέξεσι.*—πθ' (φ. 264 α). "*Τῷ τιμιωτάτῳ μοναχῷ κῦρ* Μύρωνι *τῷ* Παναρέτῳ· Περὶ *του ποτε καὶ πόθεν καὶ ὅπως ἐν τῇ μήτρᾳ τὸ ἔμβρυον τὴν νοερὰν ψυχὴν εἴωσθε δέχεσθαι.*" Ἀρχ. *Εἰ δὲ καὶ τοῦτο θεοείκελε ἄνερ ἡ σὴ ὁσιότης ἀξιοῖ μαθεῖν.*—ϟ' (φ. 266 α). "Πρὸς *τοὺς λέγοντας ὅτι παχὺ τὸ σῶμα ἡμῶν ἔσται καὶ μετὰ τὴν ἀνάστασιν.*" Ἀρχ. *Ἐπεὶ δὲ καὶ περὶ φύσεως τῶν ἐκ νεκρῶν ἐγερθησομένων σωμάτων ποιότητός τε καὶ κράσεως οὐ μικρῶς ἀμφιβάλλουσι τινές.*—ϟα' (φ. 272 α). "Πρὸς *τοὺς λέγοντας ὅτι τὰ κατὰ παραχώρησιν Θεοῦ γινόμενα παρ' ἡμῶν, καὶ προωρισμένα παρ' αὐτοῦ τυγχάνουσι καθὼς ὁ μέγας φησὶ* Μάξιμος *ὡς ἐκείνοις δοκεῖ.*" Ἀρχ. *Ὅτι μὲν οὖν ὁ μέγας εὕρηται Μάξιμος προωρισμένα λέγων εἶναι τὰ οὐκ ἐφ' ἡμῖν ἐξ ἀρχῆς αὐτῆς κατὰ τὴν πρόγνωσιν τοῦ Θεοῦ σύμφημι τοῦτο κἀγώ.*—ϟβ' (φ. 276 α). "*Τῷ τιμιωτάτῳ μοναχῷ κῦρ* Ἰωαννικίῳ *τῷ γραμματικῷ* Εἰ *χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι καὶ σήμερον οἱ ἀψάμενοι νεκροῦ, ἀκάθαρτοι εἰσὶ καθὰ καὶ τὸ πρότερον· καὶ ὅτι θρηνεῖν ἀμέτρως ἐπὶ τοῖς ἀποιχομένοις οὐκ ἔξεστιν.*" Ἀρχ. *Εἰ δὲ καὶ τοῦτο μαθεῖν ἀξιοῖς ὦ ἱερὰ κεφαλὴ τίνος ἕνεκεν ὁ παλαιὸς νόμος ἀκάθαρτον ἔχει τὸν τεθνεῶτα.*—ϟγ' (φ. 278 α). "Εἰ *χρὴ προσέχειν τοῖς λέγουσιν ὅτι τὸ φθαρτὸν ἐννωθῆναι κατὰ κράσιν τῷ ἀφθάρτῳ καὶ ἀΰλῳ τὴν οὐσίαν οὐ δύναται.*" Ἀρχ. *Ἰστέον ὅτι οἱ λέγοντες τὴν νοερὰν ἡμῶν ψυχὴν ἄϋλον ἅτε δὴ καὶ ἄφθαρτον οὖσαν.*—ϟδ' (φ. 278 β). Ἐπιστολη ἀνεπίγραφος, ἧς ἡ ἐπιγραφή, οὐ γραφεῖσα ἀρχῆθεν, οὐδ' ἐκ τοῦ Πίνακος δύναται συμβληθῆναι, ἅτ' ἐφθαρμένου τοῦ φ. 3 τοῦ κώδικος, ἐν ᾧ περιελαμβάνοντο τἀπὸ τοῦ πδ' καὶ ἑξῆς κεφάλαια. Ἀρχ. *Εἰ δὲ καὶ τίς ἡ αἰτία δι' ἣν ὁ πάμμεγας Παῦλος οὕτως εἰπεῖν ἔφθασε σπείρεται σῶμα ψυχικὸν ἐγείρεται σῶμα πνευματικόν.*

Αἱ ἐπιστολαὶ εὕρηνται φέρουσαι ἐν τῇ ὤᾳ τὸν ἀριθμὸν γ' καὶ ἑξῆς μέχρι τοῦ ϟϛ', συνῳδὰ τῷ Πίνακι ἐν ᾧ κεφάλαια α' καὶ β' εἰσὶν οἱ τοῦ Γλυκᾶ Στίχοι καὶ ἡ Ἀναγωγὴ δημοτικῶν ῥητῶν. Ἔν τισι δὲ τῶν ἐπιστολῶν περιέχονται προσθῆκαι ἐν τῇ ὤᾳ ὑπὸ τῆς αὐτῆς χειρὸς διὰ παραπομπῶν εἰς τὸ κείμενον, οὗ προσεπιφέρονται οὕτως ἀρχῆθεν ἐν τῇ ἀντιγραφῇ παραλειφθέντα μέρη· ὑπάρχουσι δ' ἐν τῇ ἀρχῇ ἐνίων ἐπιστολῶν καὶ σημειώματα, ὧν ἡ ἀρχὴ *Ὁ λόγος οὗτος ἐξεδόθη διὰ τοὺς λέγοντας.*

Τὰ πρῶτα φύλλα τοῦ κώδικος, συγκεχυμένα νῦν, φέρονται ἐσταχωμένα κατὰ τήνδε τὴν τάξιν· 2, 3, 4, 5, 1, 6.

Τῶν ἄνω ἀναγεγραμμένων ἐπιστολῶν εὕρηνται ἐκδεδομέναι παρὰ MIGNE CLVIII, 648 κ. ἑ. μόναι αἱ ἑξῆς· α'—ιδ' (MIGNE α'—ιδ'), ιζ' (κε'), ιθ' (ιη'), κη' (κθ'), μ' (κγ'), μβ' (κδ'), μγ' (κϛ'), νγ' (ιϛ'), νδ' (ιζ'), ογ' (ιε').

Ἴδε καὶ 90 (9), 580 (33), 4516 (396), 1.

Ἐπιθι καὶ Συνοδικῆς βιβλιοθήκης Μόσχας ἀρ. 216 (Κατάλογος ἀρχιμανδρίτου Βλαδιμήρου σ. 288 κ. ἑ.), καὶ τὴν προμνημονευθεῖσαν διατριβὴν τοῦ KRUMBACHER Michael Glykas ἐν Sitzungsberichte Μονάχου 1894 σ. 391–460.

5720. 213.

Χαρτ. 8 μικρ. (0,19 × 0,17). XIX. (σ. 114).

"Βίος καὶ ὑπόμνημα τοῦ ἁγίου ὁσιομάρτυρος πατρὸς ἡμῶν Ἰακώβου τοῦ ἀσκήσαντος εἰς τὰ ὅρια τῆς ἱερᾶς μονῆς τῶν Ἰβήρων καὶ θείας θεωρίας κατατρυφήσαντος ἐν τῇ ἱερᾷ σκήτῃ τοῦ τιμίου Προδρόμου. Συγγραφεὶς παρά τινος ἱερομονάχου δι' ἐπιμελείας καὶ δαπάνης τοῦ πανοσιωτάτου καθηγουμένου Ἀνδρέου τοῦ ἱεροῦ Ῥωσσικοῦ κοινοβίου. Ἐν ἁγίῳ ὄρει Ἄθω ἐν ἔτει 1891."

*5721. 214.

Χαρτ. 4. (0,27 × 0,182). XIX. (σ. 46).

"Ἀκολουθία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Μακαρίων, τοῦ τε Αἰγυπτίου καὶ ἀναχωρητοῦ καὶ τοῦ Ἀλεξανδρέως. Ἀναγραφεῖσα παρά τινος Μοναχοῦ, ἐξ ἀρχαίας τινὸς φυλλάδος χειρογράφου εὑρισκομένης ἔν τινι Κελλίῳ τῶν Καρῶν. 1883 ἐν Ἁγιωνύμῳ Ὄρει."

Κεκαλλιγραφημένος κῶδιξ, κοσμούμενος ὑπὸ ἐπιτίτλων καί τινων ἀρχικῶν γραμμάτων.

5722. 215.

Χαρτ. 4. (0,293 × 0,201). XV. (σ. 833).

I (σ. 1). Γρηγορίου τοῦ Παλαμᾶ Ὁμιλίαι.

α' (σ. 1). "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγορίου** ἀρχιεπισκόπου **Θεσσαλονίκης** Ὁμιλία περὶ τῆς πρὸς ἀλλήλους εἰρήνης· ῥηθεῖσα μετὰ τρίτην ἡμέραν τῆς αὐτοῦ πρὸς Θεσσαλονίκην ἐπιδημίας."—β' (σ. 6). "**Τοῦ αὐτοῦ** Ὁμιλία εἰς τὴν παραβολὴν τοῦ τελώνου καὶ Φαρισαίου."—γ' (σ. 16). "**Τοῦ αὐτοῦ** Ὁμιλία εἰς τὴν παραβολὴν τοῦ σεσωσμένου ἀσώτου."—δ' (σ. 26). "**Τοῦ αὐτοῦ** Εἰς τὸ εὐαγγέλιον τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας καὶ περὶ εὐσπλαγχνίας καὶ εὐποιΐας."—ε' (σ. 38). "**Τοῦ αὐτοῦ** Εἰς τὴν ὑπαπαντὴν τοῦ Χριστοῦ ἐν ᾗ καὶ περὶ σωφροσύνης καὶ τῆς ἀντιθέτου αὐτῇ κακίας."—ϛ' (σ. 46). "**Τοῦ αὐτοῦ** Προτρεπτικὴ πρὸς νηστείαν ἐν ᾗ καὶ περὶ τῆς τοῦ κόσμου γενέσεως ὡς ἐν ἐπιτόμῳ."—ζ' (σ. 54). "Ἑτέρα **τοῦ αὐτοῦ** περὶ νηστείας."—η' (σ. 60). "**Τοῦ αὐτοῦ** Περὶ πίστεως· ἐν ᾗ καὶ τῆς κατὰ εὐσέβειαν ὁμολογίας ἔκθεσις."—θ' (σ. 66). "Ἐν τῷ καιρῷ τῆς νηστείας καὶ προσευχῆς."—ι' (σ. 72). "Τῆς δευτέρας Κυριακῆς τῆς ἁγίας Τεσσαρακοστῆς ὑπόθεσιν ἔχουσα τὸν ἐν Καπερναοὺμ ἰαθέντα παρὰ τοῦ Κυρίου παράλυτον καὶ πρὸς τοὺς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατὰ τὴν ἐκκλησίαν ἱεραῖς συνάξεσι." ια' (σ. 92). "**Τοῦ αὐτοῦ** Εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν."—ιβ' (σ. 97). "...Ἐν τῇ τετάρτῃ τῆς ἁγίας Τεσσαρακοστῆς Κυριακῇ ὑπόθεσιν ἔχουσα τὸ κατ' αὐτὴν ἀναγινωσκόμενον Εὐαγγέλιον, ἐν ᾗ καὶ περὶ τῆς ἐπιμελείας τῶν λογισμῶν."—ιγ' (σ. 105). "...Τῇ πέμπτῃ Κυριακῇ τῶν νηστειῶν ἐν ᾗ καὶ περὶ ἐλεημοσύνης."—ιδ' (σ. 112). "Εἰς τὸν Εὐαγγελισμὸν τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου."—ιε' (σ. 120). "**Τοῦ αὐτοῦ** Ὁμιλία ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν Βαΐων."—ιϛ' (σ. 128). "Λόγος περὶ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ οἰκονομίας."—ιζ' (σ. 151). "...Δεικνῦσα τὸ τοῦ Σαββάτου καὶ τὸ τῆς Κυριακῆς μυστήριον."—ιη' (σ. 163). Τῇ Κυριακῇ τῶν Μυροφόρων.—ιθ' (σ. 172). "Εἰς τὸ κατὰ τὴν Σαμαρεῖτιδα τοῦ Χριστοῦ εὐαγγέλιον."—κ' (σ. 184). Εἰς τὸ κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην ὄγδοον ἑωθινὸν εὐαγγέλιον.—κα' (σ. 192)· Εἰς τὴν ἀνάληψιν τοῦ Χριστοῦ.—κβ' (σ. 200). Εἰς τὴν αὐτὴν ἑορτήν, ἐν ᾗ καὶ περὶ παθῶν καὶ ἀρετῶν.—κγ' (σ. 208). Εἰς τὸ δέκατον ἑωθινὸν εὐαγγέλιον.—κδ' (σ. 216). Εἰς τὴν κατὰ τὴν Πεντηκοστὴν τελεσθεῖσαν φανέρωσιν καὶ διανομὴν τοῦ θείου Πνεύματος.—κε' (σ. 226). "Ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν ἁγίων Πάντων."—κϛ' (σ. 235). "Ἐκφωνηθεῖσα ἐν καιρῷ τοῦ θέρους, ἐν ᾗ καὶ περὶ πνευματικοῦ θέρους."—κζ' (σ. 242). "Ἐκφωνηθεῖσα καὶ αὕτη ἐν τῷ καιρῷ τοῦ θέρους, ἐν ᾗ καὶ περὶ τοῦ μέλλοντος ἡμῖν λογικοῦ θέρους."—κη' (σ. 251). Ἐκφωνηθεῖσα κατὰ τὴν ἑορτὴν τῶν ἀποστόλων Πέτρου καὶ Παύλου.—κθ' (σ. 259). "Ὑπόθεσιν ἔχουσα τὸν κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον ἐν Καπερναοὺμ ἰαθέντα παράλυτον."—λ' (σ. 266). "Ὑπόθεσιν ἔχουσα τοὺς κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον ἐν οἰκίᾳ ἀναβλέψαντας τυφλούς."—λα' (σ. 277). "Ἐκφωνηθεῖσα ἐν λιτῇ τελουμένῃ κατὰ τὴν πρώτην Αὐγούστου."—λβ' (σ. 268). Εἰς τὸ κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον τῆς ἐνάτης Κυριακῆς εὐαγγέλιον.—λγ' (σ. 296). Περὶ ἀρετῶν καὶ τῶν ἀντιθέτων ταύταις παθῶν.—λδ' (σ. 304). Εἰς τὴν σεπτὴν μεταμόρφωσιν τοῦ Χριστοῦ.—λε' (σ. 314). Εἰς τὴν αὐτοῦ τοῦ Κυρίου μεταμόρφωσιν.—λϛ' (σ. 324). Εἰς τὸ τῆς ἑνδεκάτης Κυριακῆς εὐαγγέλιον τοῦ εὐαγγελιστοῦ Ματθαίου.—λζ' (σ. 333). Εἰς τὴν πάνσεπτον κοίμησιν τῆς Θεοτόκου.—λη' (σ. 344). Εἰς τὸ πρῶτον ἑωθινόν.—λθ' (σ. 353). Ῥηθεῖσα ἐν λιτῇ γενομένῃ διὰ τὴν ἀήθη καὶ ἀθρόαν τοῦ θανάτου τηνικαῦτα πληγήν.—μ' (σ. 360). Εἰς τὸν πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην.—μα' (σ. 375). Εἰς τὸ τῆς δεκάτης τετάρτης Κυριακῆς εὐαγγέλιον τοῦ Ματθαίου.—μβ' (σ. 384). Εἰς τὴν γέννησιν τῆς Θεοτόκου.—μγ' (σ. 391). "Εἰς τὸ τῆς ἑπτακαιδεκάτης Κυριακῆς εὐαγγέλιον τοῦ Ματθαίου τὸ περὶ τῆς Χαναναίας."—μδ' (σ. 398). "Εἰς τὸν ἅγιον ἀπόστολον καὶ εὐαγγελιστὴν Ἰωάννην τὸν Θεολόγον."—με' (σ. 406). Εἰς τὸ τῆς δευτέρας Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον.—μϛ' (σ. 413). Εἰς τὸ τῆς τρίτης Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον.—μζ' (σ. 420). Εἰς τὸ τῆς τετάρτης Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον.—μη' (σ. 430). Εἰς τὸ τῆς πέμπτης Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον.—μθ' (σ. 439). Εἰς τὸν ἐν ἁγίοις μεγαλομάρτυρα Δημήτριον.—ν' (σ. 451). Εἰς τὸ τῆς ἕκτης Κυριακῆς τοῦ Λουκᾶ εὐαγγέλιον.—να' (σ. 458). "Ὅτι ἡ πρὸς τὸν Θεὸν συνεχὴς διὰ προσευχῆς καὶ ψαλμῳδίας ἔντευξις ἕδρα καὶ ἀσφάλεια..."—νβ' (σ. 467). Ἐκφωνηθεῖσα εἰς τὴν ἑορτὴν τῶν εἰσοδίων τῆς Θεοτόκου.—νγ' (σ. 475). Εἰς τὴν εἴσοδον καὶ τὸν θεοειδῆ βίον τῆς Θεοτόκου.—νδ' (σ. 511). "Ὅτι μετὰ τὴν τοῦ Κυρίου παρουσίαν καὶ τοῖς κατορθοῦσι μείζων ἡ ἀμοιβὴ καὶ τοῖς ἀπειθοῦσι πλείων ἡ κόλασις καὶ περὶ διαφόρων παθῶν καὶ ἀρετῶν."—νε' (σ. 521). Ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν προπατόρων.—νϛ' (σ. 524). Περὶ τῶν ἁγίων καὶ φρικτῶν τοῦ Χριστοῦ μυστηρίων.—νζ' (σ. 536). "Ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν Πατέρων περὶ τῆς κατὰ σάρκα γενεαλογίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ..."—νη' (σ. 546). Εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ.—νθ' (σ. 555). "Περὶ τῶν κατὰ τὸ θεῖον βάπτισμα τελουμένων...Ἐξεφωνήθη τῇ παραμονῇ τῶν Φώτων."—ξ' (σ. 564). "Ῥηθεῖσα ἐν τῇ ἁγίᾳ ἑορτῇ τῶν Φώτων..."—ξα' (σ. 575). "Ὁμιλία τῇ δωδεκάτῃ Κυριακῇ τοῦ Λουκᾶ..."—ξβ' (σ. 584). "Τῇ πεντεκαιδεκάτῃ Κυριακῇ τοῦ Λουκᾶ..."—ξγ' (σ. 593). "Λόγος ἐπιστολιμαῖος πρὸς Ἰωάννην καὶ Θεόδωρον τοὺς φιλοσόφους."—ξδ' (σ. 609). "Λόγος εἰς τὸν θαυμαστὸν καὶ ἰσάγγελον βίον τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν τῷ

Ἁγίῳ ὄρει τῷ Ἄθω ἀσκήσαντος." Ἀρχ. Οὐ δίκαιόν ἐστιν ὥς γε μοι δοκῶ, τοὺς μὲν ἀλλαχοῦ γῆς ἄξιόν τι μνήμης εἰργασμένους φιλοτίμως εὐφημεῖσθαι παρ' ἡμῶν.—ξε' (σ. 640). "**Τοῦ αὐτοῦ** Λόγος πρὸς μοναζούσας περὶ παθῶν καὶ ἀρετῶν καὶ περὶ τῶν τικτομένων ἐκ τῆς κατὰ νοῦν σχολῆς." Ἀρχ. Τοῖς μοναδικῶς ζῆν προθυμουμένοις ἀληθῶς ἀηδής ἐστιν οὐ μόνον ἡ πρὸς τοὺς πολλούς, ἀλλὰ καὶ ἡ πρὸς αὐτοὺς τοὺς ὁμοτρόπους ὁμιλία.—ξϛ' (σ. 678). "Πρὸς τοὺς δυσχεραίνοντας ἐπὶ ταῖς συμβαινούσαις ἡμῖν πάντοθεν περιστάσεσι παντοδαπαῖς."—ξζ' (σ. 687). "**Τοῦ αὐτοῦ** Πρὸς τὸν ἐρωτήσαντα περὶ τῆς ἀναλήψεως τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος." Ἀρχ. Ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου· καὶ οἴδατε πάντα.—ξη' (σ. 690). "**Τοῦ αὐτοῦ** Ἐπιστολὴ ἣν ἐξ Ἀσίας αἰχμάλωτος ὤν, πρὸς τὴν ἑαυτοῦ ἐκκλησίαν ἀπέστειλεν." Ἀρχ. Ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης, πᾶσι τοῖς ἐν ἁγίῳ Πνεύματι ἀγαπητοῖς καὶ τέκνοις καὶ ἀδελφοῖς τῆς ἐμῆς ταπεινότητος· τοῖς τε θεοφιλεστάτοις ἐπισκόποις καὶ τοῖς ἐκκλησιαστικοῖς ἄρχουσι, καὶ δι' αὐτῶν πᾶσι· καὶ μάλιστα τοῖς τὰ ἡμέτερα ποθοῦσιν εἰδέναι. Τέλ. Ὁ γὰρ κολλώμενος διὰ τῶν ἔργων τῆς ἀρετῆς τῷ Θεῷ, ἓν πνεῦμα μετὰ τοῦ Θεοῦ γίνεται διὰ τῆς τοῦ θείου Πνεύματος χάριτος ἥτις μετὰ πάντων ὑμῶν εἴη, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.—ξθ' (σ. 708). "**Τοῦ αὐτοῦ** Πρὸς τοὺς ἀθέους Χιόνας διάλεξις· συγγραφεῖσα παρὰ **ἰατροῦ τοῦ Ταρωνείτου**, παρόντος καὶ αὐτηκόου γεγονότος." Ἀρχ. Ἦλθον οἱ Χιόναί φησιν ὁρισμῷ τοῦ ἀμηρᾶ, εἰς τὸ διαλεχθῆναι τῷ μητροπολίτῃ Θεσσαλονίκης· ἐφοβήθησαν οὖν κινηθῆναι τὸν λόγον ἔμπροσθεν ἐκείνου. Τέλ. Καὶ ἃ μὲν εἶπον ἐκεῖνοι, ἀκριβῶς ἡμεῖς οὐκ ἠκούσαμεν· εἰς ἃ δὲ ἐγράψαμεν, αὐτήκοοι ἐγενόμεθα· καὶ ὡς τοῦ Θεοῦ βλέποντος, ἃ εἴδομεν καὶ ἠκούσαμεν ἐγράψαμεν.—ο' (σ. 715). "**Τοῦ αὐτοῦ** Δεκάλογος τῆς κατὰ Χριστὸν νομοθεσίας ἤτοι τῆς νέας Διαθήκης." Ἀρχ. Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν· ὁ ἐν πατρὶ καὶ υἱῷ καὶ Πνεύματι γνωριζόμενος.—οα' (σ. 724). "Εὐχὴ πρὸς τὸν Θεὸν ἣν πρὸ τῆς πύλης τῆς πόλεως ηὔξατο συνήθως ὅτε τὴν ἀρχὴν ἔμελλεν εἰσελθεῖν."—οβ' (σ. 727). "Εὐχὴ ἐπὶ ἔθνους ἐπιδρομῇ."—ογ' (σ. 728). "Ἑτέρα ἐπὶ ἀνομβρίᾳ."—οδ' (σ. 729). "Ἑτέρα εὐχὴ ἣν μετὰ τὴν χειροτονίαν ὀφθεὶς τοῖς βασιλεῦσι συνήθως ηὔξατο."—οε' (σ. 732). "**Τοῦ αὐτοῦ** Κεφάλαια περὶ προσευχῆς, καὶ καρδίας καθαρότητος." "Κεφάλαιον α'." Ἀρχ. Ἐπειδὴ τὸ θεῖον αὐτοαγαθότης ἐστὶ καὶ ἔλεος αὐτόχρημα. "Κεφάλαιον β'." Ἀρχ. Ὅταν τὸ ἑνιαῖον τοῦ νοῦ γένηται τρισσὸν μένον ἑνιαῖον. "Κεφάλαιον γ'." Ἀρχ. Νοῦς λέγεται καὶ ἡ τοῦ νοῦ ἐνέργεια.—οϛ' (σ. 735). "Ἕτερα κεφάλαια." Ἀρχ. Ὁ Θεῷ συγκραθεὶς διὰ πίστεως καὶ ἐπιγνοὺς αὐτὸν διὰ πράξεως.

2 (σ. 743). "Τοῦ φιλοσοφωτάτου καὶ λογιωτάτου καὶ τιμιωτάτου ἐν μοναχοῖς κυροῦ **Μαξίμου τοῦ Πλανούδη** Ἐγκώμιον εἰς τοὺς ἁγίους καὶ πανευφήμους ἀποστόλους Πέτρον καὶ Παῦλον."

Ἀρχ. Ἐδόκει μοι λέγειν τὶ περὶ τῶν Ἀποστόλων προθυμουμένῳ, μηδὲν εἶναι πόνου πολλοῦ πρᾶγμα.

3 (σ. 815). "Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ τιμιωτάτου ἐν μοναχοῖς κυροῦ **Μαξίμου τοῦ Πλανούδη** Λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ."

Ἀρχ. Ἃ μὲν ἄν τις εἰκάσῃ, τεκμήριον τὴν παροῦσαν ἔχειν κατάστασιν, οὐκ ἔξω δοκεῖ τοῦ μέγα τι συνενεχθῆναι. Τέλ. (κολ.) καὶ κατὰ τῶν ἄλλων τὰς ὀφρῦς ἀνατείνειν ὁ Μωσέως νόμος, ἐπὶ γλώσσης εὐθύς· ἐν οἷς δὲ τὸν νόμον παραβαίνοντες, τὸν ἔλεγχον ἐπιόντα ἑώρων αὐτί[κα]...

Ἐν ἀρχῇ τοῦ κώδικος ἀπεσπασμένον φύλλον (XIX αἰῶνος), ἴσως γεγραμμένον χειρὶ Ἰακώβου τοῦ παλαιοτέρου, ἐν ᾧ τάδε·

"Πίναξ τῶν μὴ εὑρεθέντων λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγορίου τοῦ Παλαμᾶ**, οὔτε ἐν ταῖς κατὰ τὸ Ὄρος βιβλιοθήκαις, οὔτε ἐν τοῖς κατὰ Θεσσαλονίκην βιβλίοις, γνωσθέντων δὲ ἐκ τῶν παρὰ διαφόροις εὑρεθεισῶν τούτων ἀντιγραφῶν·

"Ἐννέα λόγοι κατὰ Βαρλαὰμ, εἰς τρεῖς τριάδας διῃρημένοι, ὧν οἱ μὲν πρῶτοι τρεῖς, διδάσκουσι περὶ τῶν ἐξωτερικῶν μαθημάτων, μέχρι τίνος δεῖ τούτοις χρῆσθαι τοὺς χριστωνύμους, καὶ ὅτι ἐπωφελὲς ἐστιν ἐντὸς τοῦ σώματος κρατεῖν τὸν οἰκεῖον νοῦν τοὺς ἀρχαρίους ἡσυχαστάς· καὶ ἔτι περὶ θείου φωτὸς, καὶ φωτισμοῦ, καὶ τῆς ἐν Χριστῷ τελειότητος· οἱ δὲ ἄλλοι τρεῖς, ἐπιγραφόμενοι δεύτεροι, διδάσκουσι, ποία εἶναι ἡ ὄντως σωτήριος γνῶσις· ποία ἡ ἐν κρυπτῷ νοερὰ προσευχὴ, καὶ πνευματικὴ λατρεία· τίνα τὰ ἰδιώματα αὐτῆς, καὶ τί τὸ τοῦ ἱεροῦ φωτὸς ἐκείνου ἀπόρρητον θέαμα· οἱ δὲ ἄλλοι τρεῖς διδάσκουσιν ὑψηλότατα, καὶ θειότατα, περὶ θεώσεως καὶ θείου φωτός· (τούτους καὶ ὁ ἅγιος Φιλόθεος ἀναφέρει ἐν τῇ βιογραφίᾳ τοῦ ἁγίου, καὶ ὑπερεπαινεῖ ὑπερφυέσιν ἐπαίνοις, ἱερῶν ἱεροὺς καὶ ᾄσματα ᾀσμάτων τούτους ἀποκαλῶν. "Λόγοι κατὰ Ἀκινδύνου, οὓς ὁ θεῖος Γρηγόριος νῦν μὲν ἀντιρρητικοὺς κατὰ Ἀκινδύνου ὀνομάζει, νῦν δὲ, ἀντίθεσιν κατὰ Ἀκινδύνου, ἐν οἷς γράφει κατὰ τοῦ Γρηγορᾶ· (καὶ τούτους ὁ θεῖος Φιλόθεος θαυμασίως ἐγκωμιάζει, λέγων, ἢ τούτους εἶναι ἅπαν τὸ τῆς εὐσεβείας μυστήριον· ἤγουν αὐτοὺς εἶναι τὴν τῶν μυστηρίων τῆς εὐσεβείας φανέρωσιν) "Διάλογος Βαρλααμίτου καὶ ὀρθοδόξου "Διαλογος κατὰ Θεοφάνη καὶ Θεοτίμου "Λόγοι οὓς ἐπιγράφει πρώτους καὶ δευτέρους (οὗτοι δὲ δοκοῦσιν εἶναι οἱ κατὰ Βαρλαὰμ διαληφθέντες) "Λόγος πρὸς τὸν Αἴνου "Λόγος πρὸς τὸν νομοφύλακα Συμεώνην "Ἐπιστολὴ πρὸς Μηνᾶν· "Ἐπιστολὴ πρὸς τὸν Κυζίκου Ἀθανάσιον "Ὁ τέταρτος λόγος κατὰ Νικηφόρου τοῦ Γρηγορᾶ (ζητητέος καὶ οὗτος, εἰς ἀναπλήρωσιν τοῦ ἐνταῦθα εὑρεθέντος μετὰ τῶν λοιπῶν τριῶν, ἐλλειποῦς ὅμως ὄντος) "Ὁ δὲ Δοσίθεος ἐν τοῖς προλεγομένοις τοῦ τῆς Ἀγάπης τόμ: σελ: 39: ἀναγράφει ὅτι εἶχεν ὁ θεῖος Γρηγόριος πέντε λόγους πρὸς τὸν Κυζίκου Ἀθανάσιον κατὰ Ἀκινδύνου." Ζητητέος καὶ ὁ κατὰ Ἀκινδύνου συνοδικὸς τόμος· μετὰ τὸν κατὰ Βαρλαὰμ γενόμενον, προβὰς ἐν τῇ Ἁγίᾳ Σοφίᾳ.

Τῶν ἐν τῷ κώδικι τούτῳ περιλαμβανομένων Ὁμιλιῶν Γρηγορίου τοῦ Παλαμᾶ αἱ μὲν ὑπ' ἀρ. α'–μα' ἐξεδόθησαν τύποις ἐν Ἱεροσολύμοις τῷ 1857 ὑπὸ τὴν ἐπιγραφὴν "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγορίου** ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ **Παλαμᾶ** Ὁμιλίαι τεσσαράκοντα καὶ μία...νῦν τὸ πρῶτον τύποις ἐκδιδόμεναι μετὰ προλεγομένων κελεύσει τοῦ μακαριωτάτου καὶ θειοτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου κυρίου Κυρίλλου," τὰ δὲ ὑπ' ἀρ. μβ'–ξγ', ξϛ' καὶ οα'–οδ' Ἀθήνησι τῷ αωξα' ὑπὸ τὴν ἐπιγραφὴν "Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν **Γρηγορίου τοῦ Παλαμᾶ** Ὁμιλίαι κβ' αἷς προσετέθησαν ὅ τε Ἐπιστολιμαῖος λόγος πρὸς Ἰωάννην καὶ Θεόδωρον τοὺς φιλοσόφους καὶ τέσσαρες

Εὐχαί. Ἐξ ἀπογράφου τῆς ἐν Θεσσαλονίκῃ Ἑλληνικῆς σχολῆς νῦν πρῶτον ἐκδιδόντος ΣΟΦΟΚΛΕΟΥΣ Κ. ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ." Τὸ δὲ ὑπ' ἀρ. ξθ' ἐξεδόθη ὑπὸ Ι. ΣΑΚΚΕΛΙΩΝΟΣ ἐν τῷ Σωτῆρι Τόμ. XV (1892), σ. 236—246. Κατὰ ταῦτα δὲ μόνα τῶν ἐν τῷ κώδικι ἐναπολείπονται ἀνέκδοτα τὰ ὑπ' ἀρ. ξδ', ξε', ξζ', ξη', ο', οε' καὶ ος'. Ἀλλὰ σημειωτέον, ὅτι ἐν τῷ κώδικι μέχρι μὲν καὶ τοῦ ξε', σημειουμένου κατὰ τὴν ᾤαν τοῦ ἀριθμοῦ, συμπίπτει οὗτος πρὸς τὴν παρ' ἡμῖν ἀνωτέρω ἀρίθμησιν, μετὰ δὲ ταῦτα μόνοι ἀριθμοὶ φέρονται ὁ ξθ', ἀντιστοιχῶν τῷ παρ' ἡμῖν ο', καὶ ὁ οδ', ὃν φέρουσι τἀνωτέρω ὑπ' ἀρ. οε' Κεφάλαια.

Ἐν τῇ ἐπιγραφῇ ἑκάστης τῶν τοῦ Παλαμᾶ Ὁμιλιῶν προτάσσονται ἐν τῷ κώδικι αἱ λέξεις "**Τοῦ αὐτοῦ,**" ἃς ἡμεῖς οὐκ ἐπανελάβομεν ἀπανταχοῦ, στοχαζόμενοι τῆς συντομίας, δι' ἣν καὶ ἄλλως ἐπετέμομεν πολλὰς τῶν ἐπιγραφῶν ὅσας οὐ περιελάβομεν ἐντὸς εἰσαγωγικῶν ("   "). Ἕπονται δ' ἑκάστῃ τῶν ἐπιγραφῶν αἱ λέξεις Εὐλόγησον δέσποτα. Ταῦτα δὲ παρατηρεῖ καὶ Σοφοκλῆς Κ. ὁ ἐξ Οἰκονόμων περὶ τοῦ κώδικος, ἐξ οὗ ἐξέδωκε τὰς ἄνω καταριθμηθείσας Ὁμιλίας καὶ Εὐχάς, ἀποκειμένου κατὰ τὸν χρόνον τῆς ἐκδόσεως τοῦ βιβλίου ἐν τῇ Ἑλληνικῇ σχολῇ Θεσσαλονίκης. Συμπίπτει δὲ καὶ κατὰ τἆλλα πληρέστατα ἡ περιγραφὴ τοῦ κώδικος ἐκείνου ἣν παρέχει Σοφοκλῆς Κ. ὁ ἐξ Οἰκονόμων (ἔνθ' ἀν. σ. ιγ' κ. ἑ.) πρὸς τὸν ἐνταῦθα παρ' ἡμῶν περιγραφέντα, ὥστε οὐδεμία ὑπόκειται ἀμφιβολία, ὅτι ὁ νῦν ἐν τῇ μονῇ τοῦ Ἁγίου Παντελεήμονος ἀποκείμενος κῶδιξ ἐστὶν αὐτὸς ἐκεῖνος, ὅν ποτ' ἐκέκτητο ἡ τῆς Θεσσαλονίκης Ἑλληνικὴ σχολή. Μόνον δὲ τοῦτο παρατηροῦμεν διάφορον, ὅτι ὁ κῶδιξ κατὰ τὴν τοῦ Οἰκονόμου περιγραφὴν (ἔνθ' ἀν. σ. ιδ' σημ. δ') ἐτελεύτα τότε κολοβὸς ἐν τῷ Εἰς τὴν θεόσωμον ταφὴν λόγῳ Μαξίμου τοῦ Πλανούδη διὰ τῶν λέξεων οὐ γὰρ σώματι σοὶ μόνῳ τὸ ζῆν, ἀλλὰ καὶ ψυχῇ· ἢ τάχα καὶ ψυχὴν αὐτὸς ἔχειν οὐ παρὰ..., "ὧν ἐλλιπὴς ἑνὸς μόνον, ὡς φαίνεται, φύλλου," νῦν δὲ τὸ κολοβὸν τέλος ἔχει κατὰ τὴν ἀνωτέρω ἡμῶν περιγραφὴν ἄλλως· καὶ κατὰ τῶν ἄλλων τὰς ὀφρῦς ἀνατείνειν ὁ Μωσέως νόμος, ἐπὶ γλώσσης εὐθύς· ἐν οἷς δὲ τὸν νόμον παραβαίνοντες, τὸν ἔλεγχον ἐπιόντα ἑώρων αὐτί[κα]...Συνάγεται δ' ἐντεῦθεν, ὅτι ἔκτοτε ἐξερρύησαν ἓν ἢ πλειότερα φύλλα.

Ἴδε καὶ ἀνωτέρω ἀρ. 3726 (192), 4385 (285) καὶ 4386 (286) καὶ τὸν ἐν τῇ Συνοδικῇ βιβλιοθήκῃ τῆς Μόσχας ἐκ τῆς μεγίστης Λαύρας τοῦ Ἄθωνος ἀπενεχθέντα ποτὲ πλούσιον κώδικα τῶν ἔργων τοῦ Παλαμᾶ ὑπ' ἀρ. 212 (Κατάλογος ἀρχιμανδρίτου ΒΛΑΔΙΜΗΡΟΥ σ. 257 κ. ἑ).

5723. 216.

Χαρτ. φύλλ. (0,315 × 0,215). XV. σελ. 2. (φ. 491).

Εὐαγγέλιον.

Ἐν τέλει· Θεοῦ τὸ δῶρον Ἰωάννου Ἀντζιμάδη πόνος.

5724. 217.

Βομβ. 4. (0,28 × 0,23). XIII. (φ. 390).

Θεοφυλάκτου Βουλγαρίας Ἑρμηνεία εἰς τὰ τέσσαρα εὐαγγέλια.

α' (φ. 1 α). Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον. Ἀρχ. (ἀκέφ.). (Ἑρμηνεία)...οὗτον τὸ κακὸν ἀπήρτισεν ἐν τῇ καρδίᾳ· εἰ δὲ ἔργον οὐκ ἐ....ντο· οὐκ ἴσχυσεν· ἐπεὶ ἐὰν ἰσχύσῃ παρ' αὐτίκα, τὸ ἔργον. Ἕπεται δεύτερον ἀπόσπασμα τόδε· **Ἐρρήθη δὲ ὅτι ὅστις ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ δό[τω αὐτῇ] τὸ ἀποστάσιον. Ἐγὼ δὲ λέγω ὑμῖν πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἂν ἀπολελυμένην γαμήσῃ μοιχᾶται** (Ματθ. 5,31). (Ἑρμηνεία.) Μωϋσῆς ἐκέλευσεν· ἐάν τις μισῇ τὴν γυναῖκα αὐτοῦ, διδότω αὐτῇ ἀποστάσιον· ἤτοι χωριζέσθω αὐτῆς· ἵνα μὴ χεῖρον τί γένηται· μισουμένη γὰρ ἴσως ἂν καὶ ἐφονεύθη.—β' (φ. 80 α). "**Τοῦ αὐτοῦ** Ἐπιτομὴ διαφόρων ἐξηγητῶν εἰς τὸ κατὰ Μάρκον Εὐαγγέλιον." Ἀρχ. **Ἀρχὴ τοῦ Εὐαγγέλιου Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ Θεοῦ**...(Ἑρμηνεία). Ἰωάννην τὸν τελευταῖον τῶν προφητῶν ἀρχὴ εἶναι τοῦ Εὐαγγελίου τοῦ υἱοῦ τοῦ Θεοῦ φησί· τὸ γὰρ τέλος τῆς Παλαιᾶς ἀρχὴ τῆς Νέας διαθήκης.—γ' (φ. 126 α). "**Τοῦ αὐτοῦ** Ἐπιτομὴ καὶ συναγωγὴ διαφόρων ἐξηγητῶν εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον." Ἀρχ. **Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφοριμένων ἐν ἡμῖν πραγμάτων**...(Ἑρμηνεία). Τίνες ἦσαν οἱ πολλοὶ οὗτοι οἱ ἐπιχειρήσαντες ψευδαποστόλου· πολλοὶ γὰρ συνέγραψαν εὐαγγέλια δῆθεν.—δ' (φ. 248 α). "**Τοῦ αὐτοῦ** Ἐπιτομὴ τῶν τοῦ Χρυσοστόμου ἐξηγητικῶν εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον." Ἀρχ. **Ἐν ἀρχῇ ἦν ὁ λόγος.** (Ἑρμηνεία.) Ὅπερ ἐν προοιμίοις εἶπον τοῦτο καὶ πάλιν ἐρῶ· ὅτι τῶν ἄλλων Εὐαγγελιστῶν τὴν κάτω γέννησιν τοῦ Κυρίου· τὴν ἀνατροφήν· τὴν αὔξησιν πλατέως ἀφηγουμένων οὗτος ἐκεῖνον μὲν παρατρέχει.

Ἡ ἑρμηνεία ἕπεται ἑκάστοτε κατὰ τἀνωτέρω εἰς βραχὺ ἀπόσπασμα τοῦ κειμένου γεγραμμένον ἐρυθρόν. Ἑκάστου δὲ τῶν εὐαγγελίων προτάσσεται ἡ ὑπόθεσις αὐτοῦ καί τινα ἐκ τοῦ Βίου τοῦ οἰκείου Εὐαγγελιστοῦ.

Πλὴν δὲ τῆς ἑρμηνείας ὑπάρχουσιν ἐν τῷ κώδικι καὶ Σχόλια παρασελίδια. Ἀρχὴ τῶν Σχολίων ἐν φ. 1 α'...Ἵνα μὴ ὡς κάκιστον ...τες τὰς γυναῖκας ἀ.... δέδωκεν ὁ νόμος ἄδειαν ....νῷ ῥεπουδιατεύειν τὴν γυναῖκα τίς διαζεύγνυσθαι καὶ [χωρίζε]σθαι αὐτῆς· βιβλίον δὲ...ἵνα μὴ ἐξὸν ᾖ τῇ γυναικὶ ἔγκλημα φησὶ τὸν τὴν σώφρονα ἐκβάλλοντα· δίδωσι γὰρ αὐτῇ ἄδειαν ἄλλῳ γαμηθῆναι ὅπερ ἐστὶν εἶδος μοιχείας ὡς ἂν εἰ μὴ ληθείσης τῆς συζυγίας· οὐ γὰρ τὸ ῥεπούδιον παρὰ Θεῷ λύει τὸν γάμον, ἀλλ' ἡ ἄτοπος πρᾶξις· ὁ γὰρ λαβὼν αὐτὴν μοιχός ἐστιν· καὶ αὐτῇ δὲ τῇ γυναικὶ κωλύει ἄλλῳ συνευρεθῆναι· διὰ φιλίας ἐπιτρέπων ἀνακάμψαι πρὸς τὸν ἄνδρα· καὶ ὁ ἀπολύων νῦν τὴν γυναῖκα· μοιχᾶται αὐτὴν τουτέστιν ἀναγκάζει μοιχευθῆναι· καὶ ὁ δεχόμενος αὐτὴν μοιχᾶται αὐτήν· ἀφορμὴν παρέχων τοῦ ἁμαρτῆσαι τὴν γυναῖκα· εἰ γὰρ μὴ δέχοιτο ἐπανακάμψει πρὸς τὸν ἄνδρα. Τὸ τελευταῖον τῶν εἰς τὸν Ματθαῖον Σχολίων (φ. 78 α) ἔχει ὧδε· Εἰπὼν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· οὐ μὴν εἰς τὰ ὀνόματα ἐδίδαξε μίαν καὶ μόνην τὴν τῆς θεότητος φύσιν ἐν τρισὶ προσώποις....Ἐπεβεβαίωσε δὲ τοῖς λεχθεῖσιν διὰ τοῦ ἀμὴν ὅπερ ἐστὶν βεβαιώσεως σημαντικόν· καὶ φησὶν καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀμήν. Ἀρχὴ τῶν εἰς τὸν Μάρκον Σχολίων (φ. 80 β)· Μάρκος ὁ εὐαγγελιστὴς ἀπὸ τοῦ προφητικοῦ πνεύματος τοῦ ἐξ ὕψους..."Ἄλλο δέ φησι δύο προφητείας ἐν διαφόροις εἰρημένας τόποις ὑπὸ δύο προφητῶν εἰς ἓν συναγαγὼν πεποίηκε καθὼς γέγραπται ἐν Ἠσαΐᾳ τῷ προφήτῃ. Τελευταῖον τῶν εἰς τὸν Μάρκον Σχολίων (φ. 124 α)· Παρὰ πλείστοις ἀντιγράφοις οὐ κεῖται ταῦτα ἐπιφερόμενα

τῷ κατα Μάρκῳ εὐαγγελίῳ ὡς νόθα νομίσαντες αὐτά τινες εἶναι· ὅμως ἡμεῖς ἐξ ακριβῶν ἀντιγράφων καὶ πλείστων· οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ Παλαιστιναίῳ εὐαγγελίῳ Μάρκου εὑρόντες αὐτά· ὡς ἔχει ἡ ἀλήθεια τεθείκαμεν· καὶ τὴν ἐν αὐτῷ ἐπιφερομένην δεσποτικὴν ἀνάστασιν· εἶτα ἀνάληψιν, καὶ καθέδραν, ἐκ δεξιῶν τοῦ πατρός· ᾧ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ἀρχὴ τῶν εἰς τὸν Λουκᾶν Σχολίων (φ. 126 α)· [Τ]ὸ **ἐπεχείρησαν** ἐνταῦθα λεληθ[υῖαν ἔ]χει κατηγορίαν τῶν χωρὶς χαρ[ίσματος] ἐλθόντων ἐπὶ τὴν ἀναγραφὴν τῶν εὐαγγελίων· Ματθαῖος γὰρ οὐκ ἐπεχείρησε ἀλλ' ἔγραψε· ἐξ αγ.... την... ὁμοίως Μάρκος καὶ Ἰωάννης· παραπλησίως δὲ καὶ Λουκᾶς ὁ τὸ παρὸν εὐαγγέλιον συγγραψάμενος προτραπεὶς παρὰ τοῦ κορυφαίου....ὥστε σημαίνειν τὸ **ἐπεχείρησαν** τὸ χωρὶς χαρίσματος ἐλθεῖν εἰς ἀναγραφὴν τῶν εὐαγγελίων τινάς. Τελευταῖον τῶν εἰς τὸν Λουκᾶν Σχολίων (φ. 246 α)· Τὸ **ἐξήγαγεν αὐτοὺς ἕως εἰς Βηθανίων** καὶ τὰ ἑξῆς χρὴ νοεῖν ὅτι ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ μετὰ τὴν ἀνάστασιν γέγονεν...ὃν ἐκδεχόμεθα ἐλεύσεται ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ἐπὶ τῷ κρῖναι ζῶντας καὶ νεκρούς· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Ἀρχὴ τῶν εἰς τὸν Ἰωάννην Σχολίων (φ. 248 β)· Ὅρα ὅσον δύναται τοῦ ἐν ἀρχῇ τὸ **ἦν**· εἰ γὰρ ἐν ἀρχῇ ἦν, πότε οὐκ ἦν· διὰ τοῦτο δὲ φησὶν **ὁ λόγος** καὶ οὐχ **ὁ υἱός**. Τελευταῖον τῶν εἰς τὸν Ἰωάννην Σχολίων (φ. 389 α)·...(ἐξίτηλα) ἵνα μὴ τὸ πλῆθος τῆς ἀπαγγελίας ὑπερβαίνειν τὴν μνήμην τῶν ἀκουόντων δοκῇ ὡς τεραστίων τὸ πλ[ῆθος καὶ μέ]γεθος σημᾶναι θελή[σας] ὁ Εὐαγγελιστὴς φησὶν ὅτι ταῦτα ἐὰν γράφητε καθ ἓν οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία.....οὐδὲ τὸ φαινόμενον τοῦτο διάχωρον καὶ περίμετρον τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς· τοῦτο γάρ ἐστιν ὁ κόσμος· ἠδυνήθη χωρῆσαι τὰ περὶ τούτων γραφόμενα βιβλία ἀμήν.

Ὁ κῶδιξ ἐνιαχοῦ μὲν τιλφόβρωτος, ἐνιαχοῦ δ' ἐξίτηλος.

5725. 218.

Χαρτ. φύλλ. (0,34×0,235). XIX. (σ. 1835).

"Ἐπιτομὴ τῶν ἱερῶν Κανόνων τῆς μιᾶς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας μετὰ τῶν ὅσα τούτοις ἀπό τε τῆς θεοπνεύστου Γραφῆς καὶ τῶν πνευματοφόρων πατέρων εἴς τε ἀνάπτυξιν καὶ ἐπιθεωρίαν συντείνει, ξυντεθεῖσα παρά τινος τῶν τῆς τοῦ Χριστοῦ ἐκκλησίας τροφίμων Ἀθωνίτου."

Προτάσσεται "Προοίμιον." Ἀρχ. Τὰ τῶν ἱερῶν Κανόνων ἤνθησε μὲν ἐπ' αὐτοῦ τοῦ ἀποστολικοῦ κηρύγματος, ἐπλατύνθη δ' ἔπειτα κατὰ διαφόρους τοπικάς τε καὶ οἰκουμενικὰς ξυνελεύσεις θεοφόρων ἀνδρῶν καὶ ἰδίᾳ δὲ κατά τινας τῶν, ὡς ἂν εἴποι Παῦλος, ἐν κόσμῳ λόγον ζωῆς ἐσχηκότων φωστήρων.

Ὁ κῶδιξ περιέχει πλὴν τῶν 1835 σελίδων, ὧν λείπουσιν αἱ σ. 537 καὶ 538, καὶ δώδεκα μὴ συνηριθμημένας.

5726. 219.

Χαρτ. 8. (0,20×0,14). XVIII. (φ. 88).

1 (φ. 1 α). "Ἔκθεσις κατὰ πεῦσιν καὶ ἀπόκρισιν συνοπτικῶς εἰς τὸ περὶ συντάξεως [**Θεοδώρου**] **τοῦ Γαζῆ**."

2 (φ. 34 α). **Ἑρμογένους** Προγυμνάσματα.

Ἀρχ. (ἀκέφ.)...ἂν ᾖ τὸ ἔγκλημα καὶ ἐπανακεφαλαιουμένων γε ἕκαστα...ἐπικαίρων ὡς ὁ Δημοσθένης.

3 (φ. 56 β). "Ἐνταῦθα εἰσὶ Σημειώματα μετρικά."

4 (φ. 83 α). "Στιχουργικὴ ἁπλῆ."

Ὁρισμοὶ γεγραμμένοι δι' ἄλλης χειρὸς μετὰ καὶ παραδειγμάτων ὁμοιοκαταληξίας.

5 (φ. 86 β). Ἀποσπάσματα **συγγραφέων**.

Δι' ἄλλης χειρὸς καὶ ἄλλου μέλανος.

5727. 220.

Χαρτ. 8. (0,22×0,155). XVIII. (φ. 200).

Σύνοψις τέχνης γραμματικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

Γέγραπται διὰ χειρὸς Δωροθέου Βουλησμᾶ.

5728. 221.

Χαρτ. 8. (0,225×0,16). XVIII. (φ. 280).

1. Σύνταγμα Λογικῆς.

2. "Εἰς τὰ Ὕστερα τοῦ **Ἀριστοτέλους** ἀναλυτικὰ ἐκ τῶν [**Θεοφίλου τοῦ**] **Κορυδαλέως**."

5729. 222.

Χαρτ. 8. (0,20×0,14). XVIII. (φ. 192).

"Ἐπιτομὴ, εἴτουν βραχεῖα εἰσαγωγὴ εἰς τὰ τῆς Λογικῆς ζητήματα."

Ἕπονται Διαλέξεις λογικαί.

5730. 223.

Χαρτ. 8 μέγ. (0,24×0,17). XVIII. (φ. 639).

Εὐγενίου τοῦ Βουλγάρεως Λογική.

5731. 224.

Χαρτ. 8. (0,21×0,15). XVIII. (σ. 803).

1. "Ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας, ἐκδοθεῖσα παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου **Κορυδαλέως** κυρίου **Θεοφίλου** μητροπολίτου Ἀθηνῶν."

2. **Τοῦ αὐτοῦ** "Εἰς τὰ Ὕστερα ἀναλυτικά."

5732. 225.

Χαρτ. 8. (0,20×0,15). XVII. (φ. 67+1).

1. "Ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας ἐκδοθεῖσα παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου **Θεοδοσίου τοῦ Κορυδαλλέως** πρώην μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης."

2. "Εἰς τὴν κατὰ **Ἀριστοτέλην** Λογικὴν Σχολαστικαὶ ἀποσημειώσεις."

3. "**Ἀναστασίου** ἱερομονάχου **τοῦ Γορδίου** Συντομωτάτη ἔκθεσις τῆς λογικῆς πραγματείας."

4. "**Πρόκλου** Σφαῖρα."

5. "Χαρακτῆρες ἐπιστολῶν."

Ἐν τέλει· Τέλος 1697, Μαρτίου ιη' εἰς τὸ Ἀνατολικόν.

5733. 226.

Χαρτ. 8 μέγ. (0,235×0,17). XVIII. (φ. 95).

1. "Λογικὴ ἐλάττων **Μεθοδίου**."

2. **Μακαρίου [τοῦ Πατμίου]** Προγυμνάσματα τῆς ῥητορικῆς.

Προτάσσεται "Προοίμιον εἰς τὴν ῥητορικὴν τέχνην."

3. "Στάσεις τῆς ῥητορικῆς εἰς βιβλία γ'."

Προτάσσεται "Προοίμιον εἰς τὰς Στάσεις." Ἀρχ. Ἱκανῶς περὶ τῶν προγυμνασμάτων τοῦ Ἀφθονίου ἐξακριβώσασι.

5734. 227.

Χαρτ. 8. (0,21×0,15). XVIII. (φ. 58).

"Σύνοψις γενικὴ τῆς λογικῆς ἕξεως."

Προτάσσεται "Προοίμιον εἰς τὸν αἰτήσαντα." Ἀρχ. Πᾶσα φιλοσοφικὴ ἀκρότης.

Ἐν τέλει Κατάλογος ἐπισκόπων, ἤτοι ὅσαι εἶνε ἀρχιεπισκοπαί, τίνες γράφονται ὑπέρτιμοι καὶ ἔξαρχοι καὶ τίνες μόνον ὑπέρτιμοι, ἀλλ' οὐχὶ ἔξαρχοι.

Τὰ φ. 2—7 καὶ 51—55 ἄγραφα.

5735. 228.

Χαρτ. 8 μέγ. (0,24×0,17). XVIII. (σ. 503).

"Τέχνη ῥητορική."

Εἰς βιβλία γ' μετὰ Πίνακος ἐν τέλει, οὗ τὰ φύλλα οὐ συνηρίθμηνται. Τοῦ Α' βιβλίου τὸ α' κεφάλαιον "Τί εἶναι ἡ ῥητορική, πόθεν ὠνομάσθη, κατὰ τί ὁμοιάζει καὶ διαφέρει ἀπὸ τὴν διαλεκτικήν." Ἀρχ. Πόθεν ὠνομάσθη ἡ ῥητορική.

Ἐν ἀρχῇ τοῦ κώδικος Σημειώματα θεολογικά.

5736. 229.

Χαρτ. 8. (0,22×0,16). XVIII. (φ. 539).

1. Ῥητορικὴ τέχνη.

Ἀρχ. τὸ "Προοίμιον εἰς τὴν ῥητορικὴν τέχνην." Τὴν ἔμφυτον ἐπιθυμίαν καὶ ἔφεσιν ἃς περὶ τοὺς λόγους καὶ τὰ μαθήματα φύσει πάντες ἔχουσιν ἄνθρωποι. Τέλ. τῆς Ῥητορικῆς· τελειωτικὴ πανσθενὴς τριὰς τοῖς ἐπιμόνως ἐνδιατρίβουσι τούτοις τοῖς ἀτελέσι τῆς κατὰ ῥητορικὴν τελειότητος ἐγκρατεῖς γενέσθαι.

2. "**Ἀλεξάνδρου [Μαυροκορδάτου] τοῦ ἐξ ἀπορρήτων** Σύνοψις τέχνης ῥητορικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν."

3. "Ἔκθεσις ῥητορικῶν τινων κανόνων ἱεροκήρυξι μάλιστα συμβαλλομένων οὓς ἐκ τῆς Λατινίδος φωνῆς ὁ ἐν ἱεροδιακόνοις **Μακάριος [ὁ Πάτμιος]** εἰς τὴν Ἑλλάδα φωνὴν ἀπανθισάμενος τοῖς φιλολόγοις προὔθηκεν."

4. "Περὶ τοῦ πῶς δεῖ ὁμιλίαν συγγράφειν. Περὶ τῶν γενῶν διαιρέσεως τῆς ὁμιλίας **Γεωργίου Σουγδουρῆ** ἱερέως."

5. "**Πρόκλου** Σφαίρα περὶ ἄξωνος καὶ πόλων."

6. "Σκαρλάτῳ τῷ πανευκλεεῖ ἀνδρὶ λογίῳ τε καὶ εὐγενεστάτῳ **Θεόφιλος ὁ Κορυδαλεύς**."

Ἀρχ. Δόγμα σοφὸν οὐχ ἧττον ἢ παλαιόν.

7. "Περὶ κλιμάτων ἢ περι διαφορᾶς ἡμερῶν καὶ νυκτῶν κατὰ μέρος ἐπὶ τοῦ βορείου ἡμισφαιρίου."

Ἀρχ. Ἐδιηγηθήκαμεν καθολικώτερον τὴν διαφορὰν τῶν ἡμερῶν καὶ νυκτῶν.

8. "Ἀπόκρισις πρὸς τοὺς ζητήσαντας τὴν πρόγνωσιν τοῦ ἀέρος."

Ἀρχ. Ἐκεῖνος ὁποῦ ζητεῖ τὴν πρόγνωσιν τῆς μεταβολῆς τοῦ ἀέρος ὑποθέτει τὴν γνῶσιν τελείαν.

9. "Ἀπόκρισις μικρά τις τοῦ μεγάλου σκευοφύλακος τῆς μεγάλης ἐκκλησίας κὺρ **Μπαλασίου** πρὸς τοὺς ἐρωτήσαντας ποῦ δεῖ τίθεσθαι τὴν μερίδα τῆς Παναγίας."

10. "Ἱστορία διὰ τὸν Χριστὸν πῶς ἔγινεν καὶ ἐκλέχθη ἱερεὺς ὑπὸ τῶν Ἑβραίων."

11. "Ἔκθεσις σύντομος καὶ κεφαλαιώδης τῶν ἱερῶν ὅρων τε καὶ δογμάτων τῆς ἀνατολικῆς τοῦ Χριστοῦ ἐκκλησίας."

12. **Ἰωάννου Καρυοφύλλου τοῦ** μεγάλου λογοθέτου Ζητήματα καὶ λύσεις θεολογικαί.

13. "Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον κατὰ πασῶν σχεδὸν τῶν αἱρέσεων."

Κατά τινα σημείωσιν ὁ Κανὼν οὗτος ἀντεγράφη ἐξ ἐντύπου Ὡρολογίου ἐκδεδομένου Ἐνετίησι παρ' Ἀνδρέᾳ τῷ Κουνάδῳ τῷ ᾳφκε'. Σημειωτέον δ' ὅτι παρὰ τῷ Legrand Bibliographie Hellénique Τόμ. Α' σ. 181 ὡς ἔτος τυπώσεως τοῦ Ὡρολογίου φέρεται τὸ 1524. Πρόκειται ἆρα ἐνταῦθα περὶ ἄλλης νεωτέρας τοῦ βιβλίου ἐκδόσεως;

Ἴδε καὶ ἀρ. 6052 (545).

14. **Γαβριὴλ Σεβήρου** Περὶ τοῦ πότε ἁγιάζονται καὶ μεταποιοῦνται τὰ ἅγια δῶρα.

15. "**Νικολάου Μαυροκορδάτου τοῦ** Κωνσταντινουπολίτου Περὶ γραμμάτων σπουδῆς καὶ βιβλίων ἀναγνώσεως."

16. "Τοῦ τιμιωτάτου καὶ λογιωτάτου κυρίου **Χουρμουζίου** τοῦ Κωνσταντινουπολίτου Σύνοψις τῶν πάλαι ἐπισημοτέρων τῆς Ἑώας γυμνασίων."

Ἀφιεροῦται Ἀθανασίῳ Σκιαδᾷ τῷ Κεφαληναίῳ· ἐγράφη δ' ἐν Παταυΐῳ τῷ αψια' (=1711).

17. "Ἀποφθέγματα λακωνικά."

18. "Ἐκ τῶν τοῦ **Πλάτωνος** Ὅροι."

19. **Πλάτωνος** Σωκράτους ἀπολογία.

20. **Διογένους Λαερτίου** "Διογένης."

Ἀρχ. Διογένης Ἱκεσίου τραπεζίτου Σινωπεύς.

21. "Ἐκ τῶν τοῦ **Μαξίμου Τυρίου** φιλοσόφου Πλατωνικοῦ Εἰ προηγούμενος ὁ τοῦ κυνικοῦ βίος λόγος κ'."

22. **Προχόρου** Περίοδοι Ἰωάννου τοῦ Θεολόγου.

Τὰ φ. 291—293, 390, 391 καὶ 492—495 ἄγραφα.

5737. 230.

Χαρτ. 8. (0,21×0,15). XVIII. (σ. 582).

Ἀφθονίου Ῥητορικὴ εἰς τέσσαρας τόμους (βιβλία).

5738. 231.

Χαρτ. 8. (0,205×0,145). XVII. (φ. 114).

"**Ἀναστασίου ἱερομονάχου τοῦ Γορδίου**

Τέχνης ῥητορικῆς εἰσαγωγικὴ διδασκαλία μετὰ πράξεως ἐν δέκα τμήμασι διῃρημένη."

Ἐν τέλει· 1698, ᾳχϛη^ω Ποσειδεῶνος λ^η· ἐν τῷ Ἀνατωλικῷ.

5739. 232.

Χαρτ. 8. (0,20×0,15). XVIII. (φ. 334).

1. [**Βικεντίου**] "**Δαμοδοῦ τοῦ ἐκ Κεφαληνίας** Πράξις κατὰ συντομίαν εἰς τὰς ῥητορικὰς ἀσκήσεις."

2. Θέματα τῆς Ῥητορικῆς.

3. "Ἀμφοτέρα λογικὴ ἐλάττων καὶ μείζων, *περιπατητική τε καὶ νεωτερικὴ παρὰ τοῦ ἐν φιλοσοφίᾳ καὶ θεολογίᾳ τὰ πρῶτα φέροντος διαπονηθεῖσα κυρίου* **Βικεντίου Δαμοδοῦ** *τοῦ Κεφαληναίου.*"

4. "Διδασκαλία περὶ τοῦ ἀκραιφνοῦς τρόπου *τοῦ διδάσκειν τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον ἐκδοθεῖσα παρὰ* **Γερασίμου Βλάχου** *τοῦ Κρητός...*"

5. "Στοιχεῖα γεωγραφίας" μαθηματικῆς.

6. [**Βικεντίου**] "**Δαμοδοῦ** τοῦ ἐκ Κεφαληνίας. *Τί δεῖ φρονεῖν περὶ τοῦ προορισμοῦ καὶ περὶ τῆς ἀποδοκιμασίας ὡς ἀσφαλέστερον καὶ τῇ καθολικῇ πίστει σύμφωνον.*"

7. **Σαμουὴλ** τοῦ οἰκουμενικοῦ **πατριάρχου** *Λόγος ἐκφωνηθεὶς τῇ "Κυριακῇ τῆς ὀρθοδοξίας ᾳψξζ^ω, Φευρουαρίου κε΄.*"

8. "Περὶ τοῦ πόθεν τινὲς ἀμαθεῖς παρέλαβον *λέγειν τό, Πιστεύω Κύριε καὶ ὁμολογῶ...ὅταν ὁ ἱερεὺς ἐκφωνεῖ τὸ Λάβετε φάγετε καὶ τὸ Πίετε ἐξ αὐτοῦ πάντες.*"

9. "Μεγαλυνάρια ψαλλόμενα κατὰ τάξιν *εἰς τὰς δεσποτικὰς ἑορτάς, εἰς τὴν ἐνάτην ᾠδήν.*"

Τὰ φ. 272—277 ἄγραφα.

5740. 233.

Χαρτ. 8. (0,205×0,14). XIX. (σ. 228).

"Ῥητορικῆς προθεωρούμενα."

Ἀρχ. Ἡ ῥητορικὴ εἶνε μία τέχνη εἰς τὴν ὁποίαν ὁ ῥήτωρ μὲ λόγον καταπειστικὸν θεωρεῖ πολιτικὰ πράγματα καὶ ἀποβλέπει εἰς τὸ νὰ ἐκφράζωνται τὰ λεγόμενα καλῶς.

5741. 234.

Χαρτ. 8. (0,215×0,15). XVIII. (φ. 247).

1. "Ἐγχειρίδιον ἁπάσης τῆς μετρικῆς τέχνης *παρὰ* **Γερασίμου Βλάχου** *τοῦ Κρητὸς συντεθεῖσα.*"

2. "Θέματα τῆς γραμματικῆς **Ἀλεξάνδρου** [τοῦ **Μαυροκορδάτου**]."

3. Λόγου ἑρμηνεία ἀνεπίγραφος. *Τὸ κείμενον ἄρχ. Ὥσπερ οἱ μέγιστοι τῶν ἀγωνιζομένων ἐν σταδίοις ἀθληταὶ στήλης ἀξιοῦνται. Ἡ δ' ἑρμηνεία ἄρχ. Ἀκούσατε...ἄκουε καὶ τοῦ μεγάλου Κωνσταντίου. ..Ἐκείνη μὲν δὴ τοιαύτη.*

4. Περὶ τῶν ἱστοριῶν ὧν ἐμνήσθη **Γρηγόριος** ὁ **Θεολόγος** ἐν τῷ Στηλιτευτικῷ. *Μεθ' ἑρμηνείας.*

5. "Εἰς ἅπασαν τὴν Λογικὴν τοῦ **Ἀριστοτέλους** *μέθοδον Προδιοίκησις ἤτοι εἰσαγωγή, συντεθεῖσα παρὰ* **Γεωργίου** *ἱερέως τοῦ* **Σουγδουρῆ** *τοῦ ἐξ Ἰωαννίνων.*"

6. "Προσφώνημα εἰς πατριάρχην διδομένης αὐτῷ τῆς ποιματικῆς ῥάβδου."

7. "Ἐκ τῆς νέας Γραφῆς σημειώσεις καὶ ζητήσεις πάνυ ὠφέλημαι."

8. Περὶ τοῦ μυστηρίου τῆς ἁγίας Τριάδος.

9. Περὶ τῆς Ἀναστάσεως.

Τὰ φ. 37, 38, 104—110, 233—236 καὶ 242—244 ἄγραφα.

5742. 235.

Χαρτ. 8. (0,205×0,145). XVIII. (φ. 206).

1 (φ. 1 α). **Ἀδήλου** Ὁμιλίαι ιγ΄ ἐν τῇ καθωμιλημένῃ. *"Λόγος α΄^ος. Ὁμιλία εἰς τὸ Ἐλέησόν με ὁ Θεὸς διὰ τὴν τῶν πάντων ὠφέλειαν περὶ τοῦ πρακτικοῦ καὶ θεληματικοῦ ἁμαρτήματος.*"

Ἐν φ. 118 α· ᾳψλδ΄ Μαρτίου κγ΄ (=1734).

2 (φ. 121 α). "**Χρυσάνθου πρεσβυτέρου,** *καὶ ἀρχιμαδρίτου τοῦ ἀποστολικοῦ τῶν Ἱεροσολύμων ἁγιωτάτου πατριαρχικοῦ θρόνου Περὶ ἀφορισμοῦ· κατ' αἴτησιν τοῦ γαληνοτάτου καὶ θεοσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγκροβλαχίας, κυρίου κυρίου Ἰωάννου Κωνσταντίου Βασαράβα Πραγκωβάνου βοεβόδα.*"

3 (φ. 149 α). "Λευχημονοῦσα ῥητορικὴ **Ἀναστασίου Παπαβασιλοπούλου.**"

Τὸ φ. 119 ἄγραφον. *Ἐν δὲ τῷ τελευταίῳ παραφύλλῳ ἰδιωτικὴ σημείωσις οὐδενὸς λόγου περὶ οἰκογενειακῶν συμβάντων.*

5743. 236.

Χαρτ. 8. (0,215×0,15). XVIII. (φ. 270)

1. "Ἀριθμητικὴ τοῦ σοφωτάτου ἐν ἱεροδιδασκάλοις κυρίου **Δωροθέου Πρωΐου** τοῦ Χίου."

Ἀρχ. Ἡ ἀριθμητική ἐστιν ἐπιστήμη τὰς τῶν ἀριθμῶν ἰδιότητας ὑποκείμενον ἔχουσα καὶ περὶ τοὺς λόγους αὐτῶν καὶ τὰ πάθη ἐνασχολουμένη.

2. "Κωνικῶν τομῶν σύνοψις."

5744. 237.

Χαρτ. 8 *μέγ.* (0,235×0,185). XVIII. (φ. 382).

Δωροθέου Πρωΐου τοῦ Χίου Γεωμετρία καὶ Ἄλγεβρα.

5745. 238.

Χαρτ. 8. (0,222×0,151). XIX. (σ. 133).

"Πρόχειρος ἀριθμητική."

5746. 239.

Χαρτ. 8. (0,21×0,15). XIX. (σ. 2+75+4)

"Βιβλίον περιέχων τὴν ἀριθμητικὴν μέθοδον."

Μετὰ Πίνακος ἐν τέλει.

5747. 240.

Χαρτ. 8. (0,20×0,16). XVIII. (φ. 247).

1. Ἀριθμητική.

Ἀρχ. Ἀριθμητική ἐστιν ἡ τῶν ἐν τοῖς ἀριθμοῖς λόγων τε καὶ παθῶν ἐπιστήμη θεωρητικὴ μὲν ὡς τοὺς αὐτῶν ἐπιθεωροῦσα λόγους τε καὶ πάθη, πρακτικὴ δὲ ὡς τὸ ὅπως δεῖ τούτοις χρῆσθαι εἰσηγουμένη.

2. Γεωμετρία.

Ἀρχ. Σημεῖον ἐστὶν οὗ μέρος οὐδέν.—Γραμμή ἐστι σημείου ζωή· πέρατα δ' αὐτῆς σημεῖα.

5748. 241.

Χαρτ. 8. (0,21×0,16). XVIII. (φ. 100).

"**Φυσικὴ Ἰωάννου Φριδερίκου Βουκερέρ.**"

Ἀποτελεῖται ἐκ δύο τμημάτων καὶ Πίνακος τῶν παραγράφων ἐν ἀρχῇ. Ἐν δὲ τῇ ᾤᾳ τοῦ ὅλου κώδικος διάφοροι Σημειώσεις εἰς τὴν αὐτὴν Φυσικήν.

Ἐν φ. 15 α κάτω ἐν τῇ ᾤᾳ· Δημητρίοιο κτεῖαρ μεῦ καὶ τόδε ἐστί.

*5749. 242.
Χαρτ. 8. (0,215×0,155). XVIII. (φ. 250).
"Τοῦ σοφωτάτου καὶ λογιωτάτου ἀρχιερέως
μητροπολίτου **Ἀθηνῶν**, *κυρίου κυρίου* **Μελετίου** *τοῦ ἐξ Ἰωαννίνων σὺν τῇ τοῦ Θεοῦ παλάμῃ Ἐπιτομὴ τῆς ἀστρονομίας.*"
Ἀποτελεῖται ἐκ τμημάτων ἓξ καὶ περιέχει πολλὰ σχήματα ἀστρονομικὰ καὶ πίνακας.

5750. 243.
Χαρτ. 8. (0,225×0,17). XVIII. (φ. 121).
"Ὑπόμνημα συνοπτικὸν καὶ ζήτημα
εἰς τὴν περὶ οὐρανοῦ πραγματείαν."
Ἀρχ. Οἷόν τις νέηλυς εἰς πόλιν μεγίστην καὶ μεγαλοπρεπεστάτην εἰς τὸ τοῦ παντὸς τούτου θέατρον γεννηθεὶς εἰσάγεται ὁ ἄνθρωπος.
Περιέχει πολλὰς διορθώσεις καὶ σχόλια παρασελίδια.

5751. 244.
Χαρτ. 8. (0,22×0,165). XVIII. (σ. 488).
Ψυχολογία.
Προτάσσεται Προοίμιον, οὗ ἡ ἀρχή· Τὸ φυσιολογικὸν τῆς θεωρίας μέρος τὰ μάλιστα συντείνει εἰς γνῶσιν τῆς ἀνθρωπίνης φύσεως καὶ τέλος παρέχεται τοῖς ἰδίοις ὀργιασταῖς τὸ γνῶναι σφᾶς αὐτούς. Ἡ δὲ Ψυχολογία αὐτὴ διαιρεῖται εἰς βιβλία γ', ὧν πρῶτον, "Περὶ ψυχῆς βιβλίον α^ον κεφ^ον α^ον." Ἀρχ. Τὸ πρῶτον κεφ^ον τὸ προοίμιον περιέχει ἐν ᾧ τρία ταῦτα ποιεῖται πρῶτον τὸ ὑπερέχον τῆς περὶ ψυχῆς θεωρίας ἐξυμνεῖ.

5752. 245.
Χαρτ. 8. (0,21×0,155). XVII. (φ. 68).
1. Διάλογος μεταξὺ Διογένους καὶ Ὀλυμπιάδος.
Ἐν τῇ καθωμιλημένῃ.
Ἡ συνέχεια αὐτοῦ εὕρηται κατωτέρω ὑπ' ἀρ. 6.
2. "Κοσμογραφικῆς προπαιδείας **Ἰωάννου Ὠρτέλου Κορωνέλου** βιβλίον α' μεταγλωττισθὲν
ἐκ τῆς λατινικῆς φωνῆς εἰς τὴν ἑλληνίδα διάλεκτον παρὰ τοῦ τιμιωτάτου καὶ λογιωτάτου **μεγάλου ἐκκλησιάρχου** *τῆς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας κῦρ* **Μανουήλ.**"
Περιλαμβάνονται καὶ τὰ λοιπὰ βιβλία. Ἐν τέλει· Τέλος ἀπάσης τῆς πραγματείας· 1685 Δεκεμβρίου ιβ^η.
3. "Περὶ ποιητικῆς τέχνης."
Μετρική, ἧς ἡ ἀρχή· Τὸ ἰαμβικὸν νέον μέτρον δέχεται πόδας ἓξ ἤγουν συλλαβὰς δύο καὶ δέκα.
4. "**Ἰωάννου νομικοῦ τοῦ Βωτανιώτου** ἀπὸ Κρίτης.
Πρὸς Ἰσίδωρον διάκονον καὶ ταβουλάριον τὸν Χιώτην Στίχοι ἑκατὸν τὸ ἰαμβικὸν διασαφοῦντα μέτρον."
Ἀρχ. Ἡ τῶν ποδισμῶν τῶν ἰάμβων αἰτία
αὕτη πέφυκεν ὡς δοκεῖ τεχνογράφοις.
Εὕρηται ἐκδεδομένον παρὰ E. Cougny (Annuaire de l'association pour l'encouragement des études Grecques *Τόμ.* IX. (1875) *σ.* 90 *κ. ἑ.*) *καὶ* Ed. Studemund (Anecdota Varia I, 201 *κ. ἑ.*).
5. "**Ἐπιφανίου** ἀρχιεπισκόπου **Κύπρου** Περὶ τοῦ φυσιολόγου."
6. Συνέχεια καὶ τέλος τοῦ ἀνωτέρω ὑπ' ἀρ. 1 Διαλόγου.

5753. 246.
Χαρτ. 8. (0,21×0,15). XVIII. (φ. 148).
"Στοιχεῖα τῆς Μεταφυσικῆς τοῦ ἀββᾶ **Ἀντωνίου τοῦ Γενουησίου**
μετενεχθέντα ἐκ τῆς Ἰταλίδος εἰς τὴν Ἑλλάδα φωνὴν παρὰ τοῦ σοφολογιωτάτου κυρίου **Ἀθανασίου τοῦ Παρίου.**"

5754. 247.
Χαρτ. 8. (0,225×0,17). XVII. (σ. 1052).
Θεοφίλου τοῦ Κορυδαλέως Προδιοίκησις εἰς τὴν Φυσικὴν καὶ τὰ ὀκτὼ βιβλία τῆς **Ἀριστοτέλους** Φυσικῆς ἀκροάσεως.
Ἐξεδόθη τύποις Ἐνετίησι τῷ 1779 *παρὰ Νικολάῳ Γλυκεῖ. Ἴδ.* **Βρετοῦ** *Νεοελληνικὴ φιλολογία Μέρ. Β' σ.* 71 *ἀρ.* 161.

5755. 248.
Χαρτ. 8 *μέγ.* (0,24×0,175). XVIII. (φ. 207).
1. "Τοῦ σοφωτάτου κυρίου **Θεοφίλου**
τοῦ **Κορυδαλέως** *Ὑπομνήματα συνοπτικὰ καὶ ζητήματα εἰς τὴν Περὶ οὐρανοῦ πραγματείαν*" [**Ἀριστοτέλους**].
2. "Εἰς τὸ α^ον, β^ον καὶ γ^ον βιβλίον τῶν Μετεωρολογικῶν τοῦ Ἀριστοτέλους, Σχολαστικὰ
ζητήματα ἐκδοθέντα παρὰ **Γερασίμου** *ἱερομονάχου* **Βλάχου** *τοῦ Κρητός, κήρυκος τοῦ ἱεροῦ Εὐαγγελίου καὶ κοινοῦ κατ' ἀμφοτέρας τὰς διαλέκτους τῶν ἐπιστημῶν διδασκάλου.*"

5756. 249.
Χαρτ. 8. (0,23×0,17). XVII. (φ. 331).
"Τοῦ σοφωτάτου ἐξ ἀπορρήτων
[**Ἀλεξάνδρου τοῦ Μαυροκορδάτου**] *Ἑρμηνεία εἰς τὴν Περὶ γεννέσεως καὶ φθορᾶς τοῦ* **Ἀριστοτέλους** *πραγματείαν.*"

5757. 250.
Χαρτ. 8. (0,21×0,15). XVIII. (φ. 5+254).
1. "Ἠθικὴ φιλοσοφία."
Περιέχει ὑπὸ τὴν ἐπιγραφὴν "Ἢ δ' ὅς" διαφόρους γνώμας περὶ ἀρετῶν. Ἀρχ. Περὶ ἀρετῆς. Τελειοσίς τίς ἐστιν ἡ ἀρετή.
2. "Ἔκθεσις συνοπτικὴ τῆς λογικῆς πραγματείας κατ' ἐρώτησιν καὶ ἀπόκρισιν."
Διάλογος μεταξὺ Διδασκάλου καὶ Μαθητοῦ.
3. "Σύντομος πραγματεία περὶ τέχνης ῥητορικῆς."
Ἀρχ. Τὴν τῶν ἐπιστολῶν καὶ γραμμάτων ἐξανύσαντες συντομίαν τὰ τῆς ῥητορείας μετελθεῖν ἀναγκαῖον ᾠήθημεν.
4. **Εὐγενίου Ἰωαννούλη τοῦ Αἰτωλοῦ** Ἐπιστολαὶ τέσσαρες.
5. "Ὁμιλία τῇ πέμπτῃ Κυριακῇ τῶν νηστειῶν Περὶ ταπεινώσεως."
Ἀρχ. Θέλει ἕνας σοφὸς μαθηματικὸς ἕνας ἔμπειρος γεωμέτρης νὰ σημειώσῃ τὸ τριχῇ διαστατόν.
6. "Λόγος εἰς τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν."
Ἀρχ. Ὁ φόβος ὁ πολὺς καὶ ὁ τρόμος ὁποῦ ἐνθυμοῦμαι καὶ λογιάζω πῶς ἔχει νὰ μὲ περιλάβει ἐμένα τὸν ἁμαρτωλόν.

7. Ἐγκώμιον Ἰωάννου τοῦ Προδρόμου.

Ἀνεπίγραφον. Ἀρχ. Ἀλλ᾽ ἂς ἐμποῦμεν λοιπὸν τώρα καὶ εἰς τὸν θεῖον περίβολον τῶν ἐγκωμίων τοῦ μεγάλου Προδρόμου.

8. "Συμεὼν μαγίστρου τοῦ Σὴθ Σύνοψις τῶν φυσικῶν μεταφρασθεῖσα ὑπ᾽ ἐμοῦ εἰς κοινὴν γλῶτταν τοῦ ἐν ἐλαχίστοις σπουδαίου **Μάρκου τοῦ Πορφυροπούλου** τοῦ ἐκ Κύπρου καὶ νοταρίου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας."

Κῶδιξ κολοβός.

Τὰ φ. 137—147, 181 καὶ 182 ἄγραφα.

5758. 251.

Χαρτ. 8. (0,23 × 0,165). XVIII. (φ. 87).

Ἀδήλου Ἠθικὴ θεολογία.

"Κεφ. α^ον Περὶ Θεοῦ, τουτέστιν ὅπως δεῖ τὸν Χριστιανὸν καὶ τὴν αὐτοῦ θρησκείαν διδάσκειν καὶ πρὸς τοὺς περιέργως ἐρωτῶντας ἀποκρίνεσθαι." Ἀρχ. Τὸ τῆς ἀληθοῦς θρησκείας θεμέλιον ἐστὶ τὸ πιστεύειν ὅτι ἐστὶν εἷς ὁ Θεός, ἀρχή τις δηλ. καὶ αἰτία, δι᾽ ἧς ὁ σύμπας οὗτος κόσμος ὑλικός τε καὶ ἄϋλος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἔκτισται καὶ διὰ παντὸς διοικεῖται καὶ πρὸς τὸ αὐτῆς τέλος τὸ πᾶν ἐπανάγει ὡς ἀρχὴ οὖσα καὶ τέλος τῶν πάντων καθὰ φησὶν ὁ Ἀπόστολος.

Προτάσσονται "Προλεγόμενα τῆς ἠθικῆς θεολογίας." Ἀρχ. Δεῖ ἀναγκαίως διδασκαλίαν τινὰ ἐν τῷ κόσμῳ εἶναι τὴν διδάσκουσαν τὴν ἀληθῆ θρησκείαν.

5759. 252.

Χαρτ. 8. (0,22 × 0,16). XVIII. (φ. 65).

"Μεταφυσικὴ συντεθεῖσα μὲν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κὺρ **Μ.** τοῦ **Φιδερίκου Χριστιανοῦ Βαϋμαϊστέρου** τοῦ κατὰ τὸ Γορλύκιον βασιλικοῦ γυμνασίου διδασκάλου εἰς τὴν Λατίνων φωνήν, μετοχευθεῖσα δὲ εἰς τὴν Ἑλλάδα παρὰ τοῦ ἐλλογιμωτάτου κὺρ **Δημητρίου Νικολάου** τοῦ **Δαρβάρεως**."

Ἐν φ. 65β· Τέλος μὲν ἁπάσης τῆς Μεταφυσικῆς· τῷ Θεῷ δ᾽ ἔστω χάρις καὶ τῇ Θεομήτορι κλέος.

Οὐ φέρεται μεταξὺ τῶν παρὰ **Βρετῷ** καὶ **Σάθᾳ** (Νεοελληνικὴ φιλολογία σ. 564) ἐκδεδομένων τύποις ἔργων τοῦ Δαρβάρεως.

5760. 253.

Χαρτ. 8. (0,21 × 0,152). XVIII. (φ. 114).

"Σημειώματα τινὰ εἰς τὰ τοῦ **Ξενοφῶντος** βιβλία."

Ἐν φ. 114β· "Τέλος τῶν ἐν τῷ Ξενοφῶντι σημειωμάτων, ἃ ποιήσας συνέλεξα κατὰ τὸ 1780 ἐν τῇ τῆς Σμύρνης σχολῇ τὴν Λογικὴν διδασκόμενος **Ἐλευθέριος** Ἰθακήσιος **Καραβίας**."

5761. 254.

Χαρτ. 8 μικρ. (0,19 × 0,13). XIX. (φ. 155).

1. Ἐκ τῶν **Ξενοφῶντος** Ἀπομνημονευμάτων.
2. [**Λουκιανοῦ**] "Διάλογοι μυθολογικοί."
3. "Γεωγραφία καὶ ἐθνογραφία."

"Περὶ Εὐρώπης."

4. Ἐκ τῆς **Πλάτωνος** Ἀπολογίας Σωκράτους.

Τὰ ὑπ᾽ ἀρ. 1, 2 καὶ 4 Μεταφράσεις εἰς τὴν νέαν ἑλληνικήν.

Τὰ φ. 1—6 ἄγραφα.

*5762. 255.

Χαρτ. 8. (0,20 × 0,125). XIX. (φ. 132).

"**Πλάτωνος** τῶν σωζομένων Τόμος δεύτερος.

Ἐν Βυζαντίῳ ͵αωκ᾽ (=1820) ὑπὸ **Ἀναστασίου Μαυροκεφάλου** Καισαρέως."

Περιέχονται Θεάγης, Ἐρασταί, Θεαίτητος καὶ Σοφιστής.

Ὁ τίτλος τοῦ κώδικος κοσμεῖται ὑπὸ εἰκόνος τοῦ Σωκράτους ἐν θυρεῷ.

5763. 256.

Χαρτ. 8. (0,21 × 0,15). XVII. (σ. 238).

Μουσικὴ θεωρητικὴ καὶ πρακτική.

Εἰς βιβλία ε΄. Ἐν τέλει Πίναξ τῶν περιεχομένων.

5764. 257.

Χαρτ. 8 μικρ. (0,195 × 0,14). XIX. (σ. 59).

"Εἰσαγωγὴ εἰς τὸ θεωρητικὸν καὶ πρακτικὸν τῆς ἐκκλησιαστικῆς μουσικῆς συνταχθεῖσα πρὸς χρῆσιν τῶν σπουδαζόντων αὐτὴν κατὰ τὴν νέαν μέθοδον παρὰ **Χρυσάνθου τοῦ ἐκ Μαδύτων** διδασκάλου τοῦ θεωρητικοῦ τῆς μουσικῆς.... Ἐν Παρισίοις ἐκ τῆς τυπογραφίας Ῥηγνίου· εὑρίσκεται δὲ κατὰ τὸν Γαλατὰν τῆς Κωνσταντινουπόλεως παρὰ τῷ Α. Κάστρου, τυπογράφῳ 1821."

Προφανῶς ἀντίγραφον βιβλίου ἐντύπου οὐκ ἀναγεγραμμένου παρὰ τῷ **Βρετῷ**.

5765. 258.

Χαρτ. 8. (0,20 × 0,135). XVIII. (σ. 598).

[**Διονυσίου τοῦ ἐξ Ἀγράφων**] Ἑρμηνεία τῶν ζωγράφων.

5766. 259.

Χαρτ. 8. (0,205 × 0,15). XVII. (φ. 56).

"Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῆς τέχνης καὶ ἑρμηνείας τῶν ζωγράφων [**Διονυσίου τοῦ ἐξ Ἀγράφων**] περιέχουσα τούς τε ἁγίους καὶ ἁγίας τοῦ ὅλου ἐνιαυτοῦ."

*5767. 260.

Χαρτ. 8. (0,21 × 0,145). XIX. (σ. 209).

1. Ἀνθρωπολογία.
2. Ζῳολογία.
3. Βοτανική.

Ἐν φ. 1α ἡ ὑπογραφὴ Πέτρος Δοῦρνεφ. Γέγραπται δὲ ὁ κῶδιξ τῷ 1881, καὶ κοσμεῖται ὑπὸ εἰκόνων ἐντύπων καὶ χρωματολιθογραφιῶν ἐπικεκολλημένων ἐπὶ τοῦ χάρτου.

5768. 261.

Χαρτ. 8. (0,20 × 0,145). XVIII. (φ. 128).

"Τοῦ πανιερωτάτου καὶ λογιωτάτου μητροπολίτου **Ναυπάκτου καὶ Ἄρτης** κυρίου κυρίου **Μελετίου** Εἰσαγωγὴ διαφόρων ἀκουσμάτων καὶ ἰατρικῶν."

Περιβάλλεται ὑπὸ φύλλου (Περγ. XII. σελ. 2) περιέχοντος μέρος Βίου ἁγίου.

5769. 262.

Χαρτ. 8. (0,21 × 0,14). XVIII. (φ. 106).

1 (φ. 15α). "Ἰατροσόφιον ἐκλελεγμένον ὑπὸ πολλῶν ἰατρικῶν βιβλίων **Γαληνοῦ, Ἱπποκράτους, Μελετίου μοναχοῦ** καὶ **Παύλου** τοῦ **ἀγεννήτου** (γρ. **Αἰγινήτου**)· συγγραφὲν δὲ παρὰ **Κοσμᾶ** ἱερομονάχου τοῦ **Μακεδόνος**."

Προτάσσεται (φ. 3α—14β) Πίναξ "τοῦ παρόντος ἰατροσοφίου" ἐκ κεφαλαίων υϛδ' ὧν α' "Περὶ παίδων ἀγωγῆς,"... υϛδ' "Εἰς πόνον λαιμοῦ."

Ἐν τῇ ᾤᾳ τοῦ φ. 15α· Ἐν ἔτει 1771 Ὀκτωβρίου 8 ἐνήρχθη. Ἐν δὲ φ. 100α· Τὸ παρὸν ἰατροσόφιον εἴληφε τέρμα· ἐξεγράφη διὰ χειρὸς Νικολάου Κυριτζοπούλου εἰς κόμην Μαραθέα· ἐν ἔτει ͵αψοβ' Ἰαννουαρίου δ' (= 1772).

2 (φ. 101 α). Διάφοροι συνταγαί.

α'. "Τίνα τρόπον δύνανται οἱ ἄνδρες νὰ γεννήσουν μὲ τὰς ἑαυτῶν γυναῖκας ἄρρενα παιδία."

3 (φ. 102 β). "Σκευασία τοῦ μέλανος."

4 (φ. 103 β). Εὐχαὶ ἐπ' ἀσθενείαις.

5 (φ. 105 β). Συνταγαί.

Ἐν τῷ παραφύλλῳ τῷ προσκεκολλημένῳ εἰς τὴν στάχωσιν τοῦ κώδικος τάδε· Μαΐου ιγ' ἦλθον οἱ παῖδες τῆς τῶν Λασπιωτῶν χώρας ἐπῆγαν εἰς τὸ χωρίον τους διὰ τὸν φόβον τῆς πανόλης Ἰουλίου ζ'. Καὶ κατωτέρω· Ἐπανῆλθον αὖθις οὗτοι οἱ παῖδες ἐν μηνὶ Ὀκτωβρίου η'. Κατωτέρω δέ· Ἦλθεν ὁ Γεώργιος Λασπιότης εἰς τὴν παιδείαν τῶν γραμμάτων Νοεμβρίου α'.

Τὸ φ. 1 ἄγραφον ἀρχῆθεν. Εἶτα δ' ἐν μὲν φ. 1α ἐνεγράφησαν τάδε· Ἐνταῦθα ἐνθυμίζω τὸν καιρὸν ἡνίκα ἤγειρε πόλεμον μέγαν ὁ ξανθὸς κατὰ τοῦ Μουσουλμάνου, διατρίψαντες δὲ ἀναμεταξὺ μαχόμενοι πλεῖστον καιρόν, ὑπὲρ τὰ ὀκτὼ ἔτη, καὶ ἔλαβεν ὁ ξανθὸς ἐν αὐτῇ τῇ μάχῃ πολεμικῶς, πλεῖστα καὶ διάφορα κάστρη, καὶ χώρας κατὰ τὸ μέρος τῆς Ἀνατολῆς, καὶ πολεμῶντας ἤγκισε μέχρι τοῦ Δούναβι ποταμοῦ. Ἐν δὲ φ. 1β εὕρηνται Στίχοι ἀνεπίγραφοι.

Ἀρχ.

Ἄρχοντες καὶ μεγιστᾶνοι, καὶ λοιποὶ πτωχολογιά
θάνατος μᾶς παντυχαίνει νέους γέρους καὶ παιδιά.

Τέλ.

ὡς ὄνειρατα τὰ πλούτη, καὶ ὡς ἄνθος ἡ ζωή,
κόνις εἶναι τοῦ ἀνθρώπου καὶ χαμὸς, ὅσα πλουτεῖ.

Ἴδ. καὶ 3820 (286), 22.

5770. 263.

Χαρτ. 8. (0,212×0,16). XIX. (φ. 494).

Λεξικὸν κατ' ἀλφάβητον.

Περιλαμβάνονται τοῦτο μὲν ἑρμηνεῖαι λέξεων, τοῦτο δ' ἐξηγήσεις κυρίων ὀνομάτων ἱστορικῶν τε καὶ γεωγραφικῶν, τοῦτο δὲ διηγήσεις καὶ ἀνέκδοτα ἢ καὶ ἀποσπάσματα συγγραφέων ὑπὸ τὰς οἰκείας λέξεις τασσόμενα, ἐν οἷς καί τινα ἐκ τῆς τοῦ **Φωτίου** Βιβλιοθήκης.

Ἔστι δ' ἔργον **Διονυσίου Πίστου τοῦ Ξάνθης**, ὃς καὶ ἀγγελίαν περὶ ἐκτυπώσεως τοῦ βιβλίου ὑπὸ τὴν ἐπιγραφὴν "Ποικιλία" εἶχεν ἐκδώσει ἐν Ἀθήναις.

Ἴδε καὶ 5771 (264).

5771. 264.

Χαρτ. 8. (0,212×0,16). XIX. (φ. 494).

Διονυσίου Πίστου τοῦ Ξάνθης Ποικιλία.

Ἐπιγράφεται ἐν φ. 1α "Τόμος δεύτερος," ἔστι δὲ συμπλήρωμα τοῦ ἀνωτέρω ὑπ' ἀρ. 5770 (263). Περιλαμβάνονται δ' ἐν τῷδε τῷ τόμῳ καὶ τάδε· α' (φ. 1α). Κατάλογος τῶν ἁγιορειτικῶν μοναστηρίων καὶ σκητῶν.—β' (φ. 2β). Στίχοι, οἵδε·

Ὁ μοναχὸς στὴν μοναξὰ 'σὰν τὸ πολὶ γυρίζει
'σὰν τὸν βασιλικὸν ἀνθῇ πλὴν πάντα δὲν μυρίζει·
ἔχει τὰ μαῦρα βάσανα ἔχει τὸν κυνηγόν του,
ἀλλὰ πρὸς φύλαξιν αὐτοῦ ἔρημον ὁδηγόν του.
Φεῦγε λοιπὸν ὦ μοναχὲ φεῦγε τὴν ἐρημίαν
ν' ἀνθήσῃς ὡς βασιλικὸς καὶ φέρῃς εὐωδίαν.

—γ' (φ. 3α). Στίχοι ἀνεπίγραφοι, οἵδε·

Ὁ υἱὸς τῆς Ποικιλίας Ἄνδρου νήσου τῆς ἁγίας
περιῆλθε μαθητεύθη ἀπ' αὐτῆς δὲ ἐμαγεύθη
ἐδιδάχθη νὰ κηρύξῃ εἰς αὐτῆς τὴν νεολαίαν
Ἑλληνῶν τε ἀλλοφύλων, ὡς νεόφυτον ἐλαίαν.
Κήρυττε τέκνον ἐμὸν λέγει μου ἡ Ποικιλία
ὅτι εἶμαι ἀληθὴς τε τῶν ἐθνῶν ἡ ἀγγελία·
μὴ πτοοῦ τὰς λοιδωρίας τῶν ἀνθρώπων ὁμιλίας
ἀλλὰ γράψον ὅσα σ' εἶπον τῶν ἐθνῶν ὀλιμελείας
γνώσεις δοῦναι καὶ ἰδέας εἰς αὐτὴν τὴν νεολαίαν
Ἑλληνῶν τε ἀλλοφύλλων ὡς νεόφυτον ἐλαίαν.

Τῶν στίχων δὲ τούτων τινὲς ἐπαναλαμβάνονται καὶ πάλιν πλαγίως γεγραμμένοι.—δ' (φ. 3α). Στίχοι, οἵδε·

Διονύσιος ὁ Πίστης
μαθητὴς τῆς Ἀφροδίτης
διετάχθη νὰ συνθέσῃ
καὶ πρὸς πάντας ν' ἀναθέσῃ
δόσι γνώσεις καὶ ἰδέας
νέους τε καὶ εἰς τὰς νέας
Ποικιλίαν νὰ γνωρίσουν
καὶ αὐτὴν νὰ ἐξυμνήσουν.

5772. 265.

Χαρτ. 8. (0,22×0,144). XVIII. XIX. (φ. 171).

1 (φ. 1 α). Γραμματικὴ ἀνεπίγραφος.

Ἀρχ. (ἀκέφ.)...Οὕτω προηγουμένων τῶν προτακτικῶν καὶ ἑπομένων τῶν ὑποτακτικῶν· τὸ ϋ προτακτικὸν τοῦ ϊ γίνεται καὶ οὐχὶ ἑτέρου. Τέλ. ἐρεῖνω σημαίνει τὸ προσκυνῶ ἐγκωμιάζω· τὸ δὲ φαείνω σημαίνει τὸ λαμπρύνω.

2 (φ. 22 α). "Κανὼν παρακλητικὸς εἰς τὸν ἅγιον Μηνᾶν."

Ἐν φ. 27α· Μέμνησθε μου τοῦ γράψαντος ταπεινοῦ δούλου σας Ἀγαπίου ἱερομονάχου Λαρησσείου.

3 (φ. 28 α). "Κεφάλαια συλλοστικὰ

Περὶ ὑπάρξεως, καὶ ψυχικῆς ὑπάρξεως, καὶ ἀθανασίας καὶ ἐλευθερίας αὐτῆς."

4 (φ. 38 α). "Ἐκ τῶν ὑστέρων καὶ ἐκ τῆς πείρας ἀναντίρρητοι ἀποδείξεις τοῦ Χριστιανισμοῦ εἴτουν τῆς εὐαγγελικῆς ἀληθείας."

5 (φ. 40 β). "Ἀλήθεια μεταφυσικὴ καὶ εἰςαγωγὴ ἀληθοῦς εὐδαιμονίας."

6 (φ. 42 α). "Λόγος τοῦ Δημητρίου Σούτζου ὑπὲρ τοῦ Θεοκλήτου Φαρμακίδου ἐκφωνηθεὶς εἰς Ἄργος τὴν ζ^{ην} Μαρτίου 1830 ἐνώπιον τοῦ ἀνεκλήτου Κριτηρίου."

7 (φ. 50 α). "Περὶ ἐγκλινομένων καὶ ἐγκλιτικῶν."

Ἀτελές.

8 (φ. 51 α). "Τῷ εὐγενεστάτῳ καὶ ἐντιμωτάτῳ κυρίῳ κυρίῳ Νικολάῳ τῷ Ἀναστασίῳ· **Ἀκάκιος** ἱερομόναχος ὁ **Διακρούσης** τὸ χαίρειν."

Ποίημα στίχων 133. Ἀρχ.

Πειδὴ καὶ με καμώματα δὲν ἠμπορῶ νὰ σώσω
σταῖς χάριταις ποῦ ἔλαβα ἀνταμειβὴν νὰ δώσω.

Τέλ.

Ὅτι τὸ κατὰ δύναμιν ἐτέλεσα ὁ τάλας
κ' ἡ αὐθεντιά σου ἂς τὴν δεχθῇ ταύτην ὡς τὰς μεγάλας.

9 (φ. 54 α). "Στίχοι ἠθικοὶ **τοῦ αὐτοῦ** πρὸς τὸν αὐτόν."

Στίχοι 64. Ἀρχ.

Καὶ τέλος κάνω καὶ τ' ἀφίνω,
καὶ δὲν ἔχω πλοιὸ νὰ κρίνω
οὐδὲ γράφω πλιὸ κανένα,
γιατὶ μωχάλασε ἡ πένα.

10 (φ. 54 β). "Ἕτεροι" Στίχοι **τοῦ αὐτοῦ** (;).

Ἀρχ. *Φίλος λέγω μπιστεμένος*
ἄξιος τετιμημένος.

11 (φ. 55 α). "Εἰς τὸν τίμιον Πρόδρομον· ποίημα τοῦ **Ραματὰ** τῇ ὑπερμάχῳ."

12 (φ. 60 α). "Εὐχὴ εἰς τὸν τίμιον Πρόδρομον."

13 (φ. 62 α). **Παρθενίου** ἱεροδιακόνου **Δημητζαναίου** Ἐγχειρίδιον ἔμμετρον εἰς βιβλία πέντε.

Τὸ α' "Τοῦ θανάτου" ἐκ στίχων 292, τὸ β' "Τῆς ζωῆς" στ. 1058, τὸ γ' "Τῆς κρίσεως" στ. 126, τὸ δ' "Τῆς κολάσεως" στ. 116, τὸ ε' "Τοῦ παραδείσου" στ. 54.

Γέγραπται κατὰ δύο σελίδας καὶ ἔχει τοὺς πολιτικοὺς στίχους διῃρημένους εἰς δύο ἡμιστίχια. Ἐν ἀρχῇ·

Παρθενίου πόνος εἰμὶ
ᾧ πατρὶς Δημιτζάνα·
λέγετε οἱ κρατοῦντές με
δὸν σῶσον Χριστὲ ἄνα
καὶ ῥῦσαι τῆς κολάσεως
πλῆθος σῆς εὐσπλαγχνίας
καὶ ἄξιον ἀπέργασαι
τῆς ἄνω βασιλείας.

Καὶ κατωτέρω·

Τοῦτο τὸ ἐγχειρίδιον
φέρει πέντε βιβλία
τὸ τοῦ θανάτου τῆς ζωῆς
ἓν τῆς κρίσεως τρία.
Ἔτι ἓν τῆς κολάσεως
ἓν δόξης τῆς ἀλήκτου
τῆς ἄνω Ἱερουσαλὴμ
τρυφῆς ἀκαταλήπτου.

Ἐν τέλει· *ͅαωιβ' (=1812) Αὐγούστου ιβ' ἐν Βυτίνῃ ὁ κατὰ πνεῦμα σὸς πατὴρ Παρθένιος Ἱεροδιάκονος.* Καὶ κατωτέρω· *Ὁ μὲν ὀνήσας οὐδείς πω· Ὁ δὲ ταύτης τῆς Δέλτου γραφεὺς Ἰωάννης Παπατρυφωνόπουλος πέλει.*

14 (φ. 87 β). Ποίημα ἀνεπίγραφον ἐκ στίχων διπλῶν 22.

Γέγραπται ἄλλῃ χειρί. Ἀρχ.

Ἄνακτος Ἐμμανουὴλ ἄρχων μέγα Μιχαὴλ
βασιλέως παντουργοῦ παμμέγιστε ὑπουργὲ
γέμων ὅλος νοητῶς, τοῦ ἀνεκφράστου φωτός.

15 (φ. 88 α). "Δόξα τοῦ ἁγίου Ἐπιφανίου εἰς τοὺς αἴνους."

16 (φ. 89 α). Ἀκολουθία τοῦ ἁγίου Ἀδριανοῦ καὶ Ναταλίας τῆς συζύγου αὐτοῦ.

17 (φ. 98 α). Ἀκολουθία τοῦ ἁγίου Τύχωνος ἐπισκόπου Ἀμαθοῦντος.

Ἐν τέλει (φ. 108 α)·

Ἐπιφάνιος ἀρχιθύτης τῆς Κύπρου
ἀρχιερῆα Τύχωνα στέφει πάλαι.
Ἐγὼ δ' **Ἐπιφάνιος** *ὁ γράψας τάδε*
δείλαιος, ἀνάξιος ἐκ τῆς Σκιάθου
θαρρῶν ἔγραψα χάριτι τοῦ ἁγίου.

Ἐντεῦθεν φαίνεται ἡ Ἀκολουθία γραφεῖσα ὑπὸ **Ἐπιφανίου Δημητριάδου** τοῦ Σκιαθίου.

18 (φ. 108 β). Δευτέρα στάσις τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἁγιορείτου.

19 (φ. 110 α). "Μεγαληνάρια τοῦ ἁγίου Ἀθανασίου τοῦ εἰς τῷ Ἄθῳ."

20 (φ. 111 α). "Ἕτερα ὑπὲρ τῆς Ὕδρας ἐν ᾗ ὁ θεῖος αὐτοῦ ναός."

21 (φ. 112 α). Κανὼν παρακλητικὸς ἁγίου Ἀθανασίου τοῦ Ἁγιορείτου.

22 (φ. 115 α). Μεγαλυνάρια τῆς Θεοτόκου ἀνεπίγραφα.

23 (φ. 120 α). Ἕτερα ἐγκώμια τῆς Θεοτόκου ψαλλόμενα διαφόρως.

24 (φ. 125 α). Ἀκολουθία τῶν ἁγίων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ.

25 (φ. 134 α). Δευτέρα στάσις τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἁγιορείτου.

26 (φ. 135 α). Ὁμιλία κατηχητικὴ ἀνεπίγραφος.

Ἐν τῇ καθωμιλημένῃ. Ἀρχ. *Ἀνίσως ὅλη ἡ γῆ τῆς ὁποίας ἡ περίμετρος εἶναι εἴκοσι χιλιάδες χιλιάδων.*

27 (φ. 139 α). Τροπάρια ἀνεπίγραφα ἑπτά.

28 (φ. 141 α). Τροπάρια περὶ τὰ εἴκοσι καὶ πέντε.

Ἐν ἀρχῇ (φ. 141 α) κάτωθεν ἐπιτίτλου·

Τ : θ : φ : λ : ϛ : τ : α : γ : ω : σκ : α : θ :
(=Τῷ θεο φι λε στά τῳ ἁ γι ῳ Σκι α θου
κ : Κ :
κυρίῳ Κωνσταντίνῳ;).

Ἐν δὲ τῷ τέλει· *Ἐλάχιστος αὐτῆς δοῦλος* **Ἐπιφάνιος Δημητρίου** Σκιάθιος.

29 (φ. 150 α). "Νικολάῳ φίλῳ μοι ἀνδρὶ εὖ πράττειν."

Ἐπιστολή, ἴσως γραφεῖσα ὑπὸ τοῦ αὐτοῦ **Ἐπιφανίου Δημητριάδου**. Ἀρχ. *Τὸ φίλοις ἀνακοινώσασθαι φιλικῶς τοὺς φιλουμένους τὰ κατ' αὐτοὺς φίλον οἶμαι δοκεῖ.*

30 (φ. 150 β). Περὶ φιλοσοφίας ἀνεπίγραφον.

Ἀρχ. *Φιλοσοφίας ἔργον ἐστί, φασί, τὸ γινώσκειν τὸν δημιουργὸν Θεόν.*

31 (φ. 152 β). Ἀποσπάσματα Περὶ ἀρετῶν τῶν πολιτευομένων.

32 (φ. 157 α). "Ἔπη ἁπλοελληνικά."

Τὰ πλεῖστα πρὸς ἐξύμνησιν τῆς νήσου Κέω. Εἰσὶ δ' ἐλλιπῆ ἐν τῷ μεταξύ.

Αρχ. Αἱ Μοῦσαι τῆς 'Αθήνας
μὲ χρυσαυγεῖς ἀκτῖνας
ἐστάλθησαν σ' ἐμᾶς
ᾅδουσαι χρυσᾶ ἔπη
μὲ μέλος ὁποῦ τέρπει
ἀνδρῶν τὰς ἀκοάς.

33 (φ. 169 α). Εὐαγγέλιον τοῦ ἑωθινοῦ τῆς Κυριακῆς τοῦ Πάσχα διὰ στίχων ἡρωϊκῶν.

"Αρχ.
"Οφρα κε νωητέροισιν, ἐν οὔασι πάγχυ βάλωμεν
θεόσφατον ἡμερόεσσαν ἁγνὴν εὐάγγελον ὄππα.
Τέλ.
χεῖρα τ' ἐμὴν εἴσω πλευρῆς οἱ ῥεῖα βαλοίμην
οὔποτε ἡμετέροισιν λόγοις κεφαλῇ κατανεύσω.

'Ο κῶδιξ γέγραπται ὑπὸ διαφόρων χειρῶν. Καὶ τὰ μὲν ὑπ' ἀρ. 1, 3—5, 20—23, 26, 28—31 καὶ 33 ἐγράφησαν χειρὶ XVIII., τὰ δὲ λοιπὰ χειρὶ XIX. αἰῶνος.

5773· 266.

Χαρτ. 8. (0,21×0,152). XVI. (φ. 220).

1 (φ. 1 α). **'Αδήλου Χρονογραφία** ἐν τῇ καθωμιλημένῃ.

"Αρχ. (ἀκέφ.)...λας ὁποῦ ἤδουν τὰ ὠματιά[σ]ου.... οὕτως ἡ ἄγαρ ἔκλαυσεν πικρὸς καὶ ἐπῆρε τὸ ψομὴ καὶ τὸ νερὸν ἡ ἄγαρ καὶ ἔφηγεν εἰς τὴν ἔρημων. 'Εν φ. 44 β· καὶ πὸς ἐβασίλευσαν καὶ ποῦ ἄρχησε ἡ βασιλήά αυτῶν ἀπαρχῆς αἵος τέλους καὶ πὸς ἐκατακυρήευσαν ὅλην τὴν γήν ἀπο ἀνατολῆς αἵος δύσεος. 'Εν φ. 44 β· "Περὴ τον Ρομέον βασηλῆς καὶ περὴ τοῦ 'Ανήά του στρατηγοῦ ὁπίος ἠπήγεν εἰς την 'Ηταλήαν ἀπὸ τὴν Τροάδα." "Αρχ. Μετὰ τὴν ἅλωσιν τῆς Τρωάδως στρατηγῶς ὀνο- Ε ματη αινήας ὁ υιος Αχήσθου εἴτε ἔφυγεν τῶται ἤτε ἐλευθερόθη ἀπο τον 'Ελήνον· ἐπῆρε τῶν λαῶν του καὶ ἐπηγεν εἰς την 'Ηταλήαν, ούτος γὰρ ἐλαλησεν ἐκῆνο τὼ μάντευμα ὁτη νὰ εὑγῇ μὲ σιντροφήαν του να ἠπάγῃ εἰς την δύσιν. Τέλ. τῆς Χρονογραφίας (φ. 158 β). Τὸν δὲ αυτὸν κύριν Τυμόθεον τὸν ἀρχηεπήσκοπον τὸν ἐχυροτωνησεν ὁ παναγιώτατος πατριάρχης κυρ Μητροφάνης ἐν τῇ καθοληκή μεγάλη ἐκλησία ψύφω τόν πανἱερωτάτων ἀρχιερέων.

Συμπίπτει ἐν τοῖς πλείστοις μετὰ τοῦ Χρονογράφου τοῦ **Ψευδοδωροθέου Μονεμβασίας**. Τὰ ἑπόμενα φ. 159 α—170 β ἄγραφα.

2 (φ. 171 α). "Δηηγησης και ἀποκαλυψης της υπεραγίας Θεοτόκου."

"Αρχ. Κατὰ τοὺς κεροὺς ἐκήνους ὀτε ἔμελεν ὑπεραγία Θεοτόκως πορεύαιται ἑως τες κώλασαις· καὶ ἀναβὰς εἰς τὸ ὥρος τὼν ἐλεῶν προσηύχετο το πρὸς Κύριον. Τέλ. ὁμοῦ καὶ ἡ ἀναγινώσκονταις ἐν ημερά της ανταποδώσαιος αὐτου τῆς φοβερᾶς ὁ ἡ δόξα καὶ τὸ κράτως εἰς τοὺς αἰῶνας ἀμήν.

3 (φ. 177 α). "Περὴ τῆς Ευφροσηνῆς."

4 (φ. 177 β). Διήγησις περὶ Παφνουτίου.

"Αρχ. Εἰς τὴν Αλεξάνδρηαν ητων της ἁνθρωπος τὸ ὀνομά του Παυνούτιως πωλὶ πλούσιος καὶ ἐφημερημένος, καὶ σπουδέος εἰς τὸ θεληµα τοῦ Θεοῦ ἐπῆρε καὶ γηνέκα καὶ αὐτὴ ἀπὸ γένος βασιλικῶν.

5 (φ. 184 α). "Περὴ της ἀρχώντησας της χύρας."

"Αρχ. Εἰς ταις ἡμεραις τον Χρηστῆανῶν βασιλέων ἀρχῶντησα μία ἐχήρευσε καὶ πωλῆ των αρχῶντον της πολεος ἐβούλοντον να την παρούση δῆά γηνέκα. Τέλ. καὶ εἰς τρῆς ἡμέρες ἐξεδήμησαν καὶ ἡ δήο της δούλες πρὸς Κύριον· αὐτῷ ἡ δώξα εἰς τοὺς αιῶνας τον αιώνον ἀμήν.

6 (φ. 185 α). "Περὴ της καλογρέας τῆς πλουσίας."

"Αρχ. Εἰς τὴν σκύτην τον καλογρήάδων ητον μια καλογρέα πλούσια· καὶ ποταί της ελέημωσίνη δὲν ἔκαμνεν, αλα αυτη ασκητευεν, ο βήος της δε' ἤταν μῶνον μαργαρηταρηὰ καὶ πωλύτημες πετρες. Τέλ. Τόται ἀρχησε καὶ ἐδηήγοῦνταν τὸ ὤνυρῶν της· καὶ τοσοῦτων ἐγηνεν ελεήμων ησα ὀτη καὶ τῶ ράσω της ἐδωκε δηα τω ὤνομα τοῦ Χριστοῦ· αὐτῷ ἡ δώξα εἰς αἰῶνας ἀμήν.

7 (φ. 186 α). "Περὴ της γηνεκῶς τῆς πῶρνις καὶ τοῦ ανδρῶς του δικαίου."

"Αρχ. "Ητων μήα γηνὴ πῶρνη καὶ τηαυτη ὀτη τω καστρω ἐκήνω τῆς Αλεξανδρήας, ολο το ἐμηανεν ἡ αθλήα. Τέλ. δήα να μὴν λαχωμεν καὶ ἡμῆς εις την κῶλασιν ωσοι ἐκήνην ἀλα να ἀξιοθοῦμεν τῆς βασιλήας τὸν οὐρανὸν ο η δώξα εἰς τους αἰόνας ἀμήν.

8 (φ. 138 β). "Διοίγησης τοῦ αβα Μακαρίου."

"Αρχ. Πορεβόμενος πωταὶ της τον ἁγίων πατέρων καὶ ἀκολοῦθησεν αὐτὸν ἄγγελος Κυρίου. Τέλ. ἀπῆλθεν εἰς τὸν οὐρανῶν, ὁ δὲ μοναχῶς γερων ἀπῆλθεν ἐν τὸ κελήὸ αυτοῦ· το δὲ Θεῷ ἡμῶν ο ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας ἀμήν.

9 (φ. 194 α). Διήγησις ἀνεπίγραφος.

"Αρχ. Εἶπε τῆς τον γερῶντον· ὀτη ἡ πύλη τῆς βασιλήας τὸν ουρανῶν ἡ ταπήνωσις ἐστῆν.

"Επονται καὶ ἄλλαι Διηγήσεις ἐκ τοῦ **Γεροντικοῦ**.

10 (φ. 200 β). "**Θεοφάνους μωναχοῦ τοῦ νέου** καὶ φυλοσώφου Περηφράσεις καὶ δηδακτηκὴ λόγη εἰς τῶν δεκάλογων τοῦ προφήτου Μωϋσαίος εἰς πάσα Χρηστηανῶν ἀπὸ τὸ 'Εβαγγελήων ἄπο των ἄπο τους "Αποστόλους ἄπο τους Προφήτας· και απο πάσα χαρτὴ τῆς ἐκλησίας μας· καὶ πρεπῶν ἦνε να δηαβαζεται εἰς τὴν ἐκλησιαν."

"Αρχ. Δαἰκα παραγγεληαις μεγάλαις ἦνε οπου ὅρισεν ὁ Θεος τὸν Μωυσῦν να ταις ὕπῆ εἰς των κόσμων καὶ ὀπίως ταις τεληῶσι ὕπάγι εἰς των παράδησων ὀπίος δὲ πάλην ταὶς περηφρονέσυ ἥπαγι εἰς τὴν κόλασιν.

11 (φ. 213 α). [**'Επιφανίου μοναχοῦ τοῦ 'Αγιοπολίτου**] Διήγησις περὶ τῶν ἁγίων τόπων ἀνεπίγραφος.

"Αρχ. Πρότων μὲν περάσοντον τὴν Κύπρον ζητη... καὶ ἡμέρας πωλάς.

Πρβλ. Migne cxx. 260 κ. ἑ.—cxxxiii. 963.

12 (φ. 218 α). 'Ερωτήσεις καὶ ἀποκρίσεις θεολογικαί.

"Αρχ. (ἀκέφ.)· "Ει δὲ ταίσερης εβαγγελητὲ ἐκύρηξαν τὰ τέσερα μέρη της γῆς· ἐρώτηση τῆς ὁ κλέπτον καὶ ἐσώθην. Αποκ. ο τουβηὰ κλέψας τὰ σῶματα των ἁγίων τεσαράκωντα μαρτύρων καὶ ἐσώθη. Τέλ. (κολ.)· ὑπὸ θαλάσης ἔσπηρα καὶ ὑπὸ πυρ ἐθέρηζας καὶ εἰς των ποταμῶν ἔστησεν τὸν σωρὸν αὐτόν. ['Απ]ωκριση· ἡ θαλασα.

5774. 267.

Χαρτ. 8. (0,20 × 0,15). XVIII. (φ. 54).

"Φανέρωσις τοῦ ἐξετακτικοῦ ἔργου

καὶ τῆς κρίσεως κατὰ τὸ πρώσταγμα τῆς βασιλικῆς του μεγαλιότητος διὰ τὸν βασιλίδην Ἀλέξιον Πετροβίτζι, εἰς τὸ Σανκτπιτερμπούργο καμωμένον, καὶ κατὰ τὸ πρώσταγμα τῆς μεγαλιότητός του εἰς τύπον, διὰ εἴδησιν παντὸς τοῦ λαοῦ, τοῦ παρόντος μηνὸς 25. 1718 ἐκδομένον."

5775. 268.

Χαρτ. 8 μικρ. (0,192 × 0,145). XVII. (φ. 94).

1 (φ. 1 α). Γεωμετρία.

Ἀκέφαλος καὶ κολοβή.

2 (φ. 16 α). Ἀστρονομία.

Ἀκέφαλος.

3 (φ. 18 α). "Περι ἐρωτησεως χρονων ζωῆς."

4 (φ. 20 α). **Μανουὴλ** Πορφυρογεννήτου **[τοῦ Κομνηνοῦ;]** *Ἐπιστολὴ ἀπολογητικὴ πρὸς γραφὴν Παλατίνου τινὸς Παντοκρατορινοῦ κακίζουσαν τὴν ἀστρονομίαν ὡς ἀσεβὲς μάθημα.*

5 (φ. 25 α). "Ἐξηγηταὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζηνοῦ."

6 (φ. 27 α). **Ἀδήλου** Συγγραφὴ κατὰ Μωάμεθ.

Ἀρχ. (ἀκέφ.)...ὅσα κατὰ τῆς ἁγίας Τριάδος διδάσκει ὁ Μωάμεθ ἕνα καὶ μόνον Θεὸν κηρύττει μονοπρόσωπον.

Διῄρηται εἰς κεφάλαια λα', ὧν λείπουσι τὸ α' καὶ β'. Ἐν δὲ τῇ τάξει τῶν κεφαλαίων ἐπικρατεῖ σύγχυσις.

7 (φ. 45 α). **Νικήτα τοῦ Βυζαντίου** Κεφάλαια *συλλογιστικὰ κατὰ Λατίνων περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος.*

Κεφάλαια κδ' μετὰ Προοιμίου.

8 (φ. 77 α). **Μάρκου** Ἐφέσου **τοῦ Εὐγενικοῦ**

Κεφάλαια συλλογιστικὰ τῆς αἱρέσεως τῶν Ἀκινδυνιαστῶν. Εἰσὶ τὸν ἀριθμὸν ξϛ'.

9 (φ. 81 β). **Ἀλεξάνδρου Βασιλοπούλου τοῦ** Ζακυνθίου

α' (φ. 81 β). Ἐπιστολὴ διὰ στίχων πρὸς τὸν λογιώτατον κύριον Ἰωάννην τὸν Βοναφέα. Ἀρχ.

Χθιζὸς ἀπὸ σφετέροιο δόμου παλίνορσος ἱκάνω
ἡνίκα γαῖα ποτοῖς βάλλετο νεκταρίοις.

—β' (φ. 81 β). Ἑτέρα ἐπιστολὴ ἀνεπίγραφος.—γ' (φ. 82 α). Ἐπιστολαὶ τρεῖς Μάρκῳ τῷ Πατίλλᾳ ἱεροδιακόνῳ.—δ' (φ. 82 β). Ἐπίγραμμα εἰς τὴν γέννησιν τοῦ Σωτῆρος. Ἀρχ.

Τρεῖς φατοντίδος εἰς στερὸν ἄντρον ἀπ' αἴγλης
ἤλυθον ἡμέριοι, τρισσά τε δῶρα φέρων...

—ε' (φ. 82 β). Ἐπίγραμμα εἰς τὸν πρωτομάρτυρα Στέφανον.—ϛ' (φ. 83 α). Ἐπίγραμμα εἰς τὰς βίβλους τοῦ ἁγίου Κυρίλλου. —ζ' (φ. 83 α). Ἔμβλημα εἰς τὴν περιτομὴν τοῦ Χριστοῦ.—η' (φ. 83 β). Ἐπίγραμμα "εἰς ψύλλαν ἐν μέλανι θανοῦσαν σχετλιαστικόν."—θ' (φ. 83 β). Ἐλεγεῖα εἰς Ἰωάννην τὸν Χρυσόστομον καὶ εἰς τὴν γέννησιν τοῦ Σωτῆρος.—ι' (φ. 84 α). "Προτρεπτικὸν πρὸς ἀρετὴν ἠδὲ γνωμολογικόν."—ια' (φ. 84 β). Ἐπίγραμμα εἰς τὴν ἁγίαν Αἰκατερίνην.—ιβ' (φ. 85 α). Ἐπίγραμμα διαλογικὸν "Εἰς τὸ σύμβολον τοῦ Μιχαὴλ τοῦ Κράλλου." —ιγ' (φ. 85 α). Ἐπίγραμμα "Εἰς τὸ ὅτε κατῆλθες πρὸς τὸν θάνατον."—ιδ' (φ. 85 β). Ἐπίγραμμα "Εἰς τὴν βίβλον τοῦ κυρίου Γαβριὴλ [τοῦ Σεβήρου] μητροπολίτου Φιλαδελφείας."—ιε' (φ. 85 β). Ἐπίγραμμα "Εἰς τὸν Σταματέλλον τὸν Πατίλλαν."—ιϛ' (φ. 85 β). "Στίχοι περὶ τῶν αὐτοῦ ποιημάτων ἢ βίβλου."—ιζ' (φ. 86 α). "Εἰς τὸν ἱεροδίακονον Μακάριον Πατίλλαν ἐπίγραμμα."—ιη' (φ. 86 α). "Εἰς τὸν εὐγενέστατον τῆς Ζακύνθου κυβερνήτην Νικόλαον τὸν Βασικόντον ἐπιγράμματα ἐπικήδεια."—ιθ' (φ. 86 α). "Εἰς τὸν αὐτὸν ὡς ἀπὸ Λουδοβίκου τοῦ Σουμαακίου."—κ' (φ. 86 α). "Ὡς ἀπὸ Ἰώου τοῦ Χαριάτου." "Ἀπέθανε δὲ οὗτος [πάντως ὁ Νικόλαος Βασικόντος] ͵αχέ Ἰουνίου."

Ἐν φ. 85 β *μετὰ τὸ εἰς τὴν βίβλον* Γαβριὴλ Σεβήρου *ἐπίγραμμα·* **Ἀλέξανδρος ὁ Βασιλόπουλος** *ἔγραψα.*

10 (φ. 86 β). "Ἀπὸ τοῦ περὶ ἐνυπνίου λόγου **Συνεσίου.**"

11 (φ. 87 α). "**Μάρκου** μητροπολίτου Ἐφέσου **τοῦ Εὐγενικοῦ** *Ἐπιστολὴ πρὸς Ἰσίδωρον ἱερομόναχον αἰτήσαντα περὶ ὅρων ζωῆς.*"

12 (φ. 91 β). "Μέθοδος δι' ἧς τὸ ἅγιον Πάσχα *εὑρίσκεται κατὰ τὴν τῆς ἐκκλησίας παράδοσιν* **Ἰσαακίου Ἀργυροῦ.**"

13 (φ. 93 α). "Μέθοδος εἰς τὸ εὑρεῖν εὐχερῶς ἡλίου καὶ σελήνης ἔκλειψιν."

14 (φ. 93 α). "Ἑτέρα μέθοδος τοῦ Πάσχα."

15 (φ. 93 β). "Ἑτέρα μέθοδος περὶ τοῦ Πάσχα."

16 (φ. 93 β). "Περὶ τῆς τοῦ Πάσχα διορθώσεως." (κολ.).

5776. 269.

Χαρτ. φύλλ. (0,325 × 0,22). XVIII. (φ. 20 + σ. 486).

[Θεοκλήτου τοῦ Βυζαντίου] "Νομοκάνονον *ἀκριβέστατον εἰς κοινὴν ἤδη γλῶσσαν μεταφρασθὲν πρὸς τὴν τῶν ἀναγινωσκόντων ὠφέλειαν.*"

Καὶ ἐν μὲν τῷ τέλει τῆς "Πρὸς τοὺς ἀναγινώσκοντας" Προσφωνήσεως· Ἐν τῇ κατὰ τὸ Ἅγιον τοῦ Ἄθω ὄρος ἱερᾷ τοῦ Καυσοκαλύβη σκήτῃ ὁ ἐν μοναχοῖς ἐλάχιστος **Θεόκλητος ὁ Βυζάντιος.** *Ἐν δὲ τῷ τέλει τοῦ κώδικος· Ἐγράφη ἡ παροῦσα ἱερὰ καὶ θεία βίβλος ἐν τῇ κατὰ τὸ Ἅγιον ὄρος ἱερᾷ τοῦ Καυσοκαλυβίου σκήτῃ τῷ ͵αψοε' σωτηρίῳ ἔτει μηνὶ Μαρτίῳ* (=1775).

5777. 270.

Χαρτ. φύλλ. (0,335 × 0,22). XVIII. (φ. 192).

1. "Συμφωνίαι τῆς Παλαιάς τε καὶ νέας Διαθήκης."

2. "Πίναξ τῶν ὑποθέσεων τῆς θείας Γραφῆς *Παλαιᾶς καὶ νέας ἐν ᾗ καὶ περὶ τῶν ἐκδόσεων τῆς Παλαιᾶς καὶ Προθεωρία περὶ τῶν δώδεκα προφητῶν διὰ χειρὸς τοῦ μεγάλου χαρτοφύλακος* **Ῥαλάκη Καρυοφύλλου.**"

3. "Συναναγνωσις τῶν εὐαγγελίων τε *καὶ ἀποστόλων τῶν τοῦ χρόνου ἑβδομάδων, ἐν ᾗ οἱ ἀπόστολοι τοῖς εὐαγγελίοις ἕπεσθαι ὀφείλουσι.*"

4. "Πίναξ τῶν ἐν τῷ τοῦ Βαλσαμῶνος συγγράμματι *περιεχομένων ἀξιομνημονεύτων κατὰ στοιχεῖον διὰ χειρὸς τοῦ μεγάλου ἐκκλησιάρχου καὶ διδασκάλου* **Κριτίου.**"

5. "Περὶ τῶν τῆς ἐξ αἵματος συγγενείας βαθμῶν *μετὰ διαγράμματος ἐκ τῶν Ἰνστιτούτων* **Ἰουστινιανοῦ** *βασιλέως.*"

6. "Σεληνοδρόμιον."

7. "Πίναξ χρονολογικὸς" *βασιλέων καὶ γεγονότων.*

8. "Πίναξ τῶν ἐνεσπαρμένων
τῇ περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων δωδεκαβίβλῳ **Δοσιθέου** *πατριάρχου ἀξιομνημονεύτων ὑποθέσεων κατὰ στοιχεῖον.*"

Πλὴν τούτων πάντων περιλαμβάνεται ἐν τῷ ἐν ἀρχῇ τοῦ κώδικος Πίνακι καὶ "Κατάλογος τῶν ἐκδεδομένων τε καὶ ἀνεκδότων συγγραφέων τῆς Βυζαντίδος καὶ Πίναξ τῶν περιεχομένων ἐν τοῖς τόμοις τῆς Βυζαντίδος," οὗ ἡ θέσις ἦν μεταξὺ τῶν ὑπ' ἀρ. 6 καὶ 7. Ἀλλ' ὁ Κατάλογος οὗτος ἐξέλιπεν ἀποκοπείς.

Ὁ κῶδιξ λέγεται εὐθὺς ἐν ἀρχῇ "Πινακολόγος" τοῦθ' ὅπερ ἑρμηνεύεται διὰ τῶν λέξεων "ἐν ᾧ περιέχονται οἱ ὑποτεταγμένοι πίνακες."

*5778. 271.
Χαρτ. φύλλ. (0,31 × 0,22). XVIII. (σ. 820).
"Ἡ θεία καὶ ἱερὰ ἀποκάλυψις
Ἰωάννου τοῦ Θεολόγου, *ἑρμηνευθεῖσα μὲν θείῳ ἐλέει παρὰ τοῦ ταπεινοῦ ἀρχιεπισκόπου* **Μύρων** *τῆς Λυκίας* **Ἰωάννου Λινδίου** *ὄντος ὑπερορίου ὑπὸ Νεοφύτου ἐν τῇ ἱερᾷ καὶ σεβασμίᾳ μονῇ τῶν Ἰβήρων, ἀφιερωθεῖσα δὲ παρ' αὐτοῦ τῇ ὑπερενδόξῳ καὶ ἀειπαρθένῳ μητρὶ τοῦ Θεοῦ καὶ βασιλίσσῃ τῶν ὅλων Πορταιτίσσῃ καὶ τῷ κατ' ἐξοχὴν πάντων θετῷ υἱῷ αὐτῆς μακαρίῳ ἐπιστηθίῳ Ἰωάννῃ τῷ Θεολόγῳ ἐξ ὧν ἀμέσως καὶ τὴν μυσταγωγίαν τῶν ὑπερφυῶν μυστηρίων ταύτης ἐδέξατο.* Anno MDCCXCI. Κατὰ τὸ αψϛα' ἔτος ἀπὸ Χριστοῦ τὸ σωτήριον 1791."

Προτάσσονται α'. Ἐπιστολὴ τοῦ **Μύρων Ἰωάννου** "Πρὸς τὸν ἱεροδιδάσκαλον κῦρ Ῥαφαὴλ τὸν ἐν τῷ Καυσοκαλυβίῳ... αψϛγ^{ϕ} Ἰαννουαρίου."—β'. "Ἀποκριτικὴ ἐπιστολὴ τοῦ **ἱεροδιδασκάλου** κῦρ **Ῥαφαὴλ** πρὸς τὸν Μύρων κῦρ Ἰωάννην."—γ'. "Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ **ἱεροδιδασκάλου** κῦρ **Ῥαφαὴλ** πρὸς τὸν αὐτὸν Μυρέων κῦρ Ἰωάννην μετὰ τὴν τῆς ἱερᾶς βίβλου ἐπίκρισιν."

Πρὸ δὲ τῆς εἰς τὴν Πορταΐτισσαν ἀφιερώσεως κοσμεῖται ὁ κῶδιξ ὑπὸ καλλίστης ὑδατογραφίας, παριστώσης τὴν μονὴν Ἰβήρων, ἄνωθεν δ' αὐτῆς τὴν Πορταΐτισσαν καὶ ἐκ μὲν δεξιῶν τοῦ θεωμένου τὸν Μύρων Ἰωάννην προσκομίζοντα τῇ δεξιᾷ τὴν βίβλον καὶ διὰ τῆς ἀριστερᾶς κρατοῦντα τὴν ἀρχιερατικὴν ῥάβδον, ἐκ δ' ἀριστερῶν Ἰωάννην τὸν Θεολόγον, πρὸς ὃν προσκομίζεται ἡ βίβλος.

5779. 272.
Χαρτ. φύλλ. (0,305 × 0,21). XVIII. (φ. 217).
1. Ἐξήγησις εἰς χωρία καὶ ῥητὰ τῆς θείας Γραφῆς,
ἀνεπίγραφος καὶ διῃρημένη κατὰ Κεφάλαια καὶ Μόρια.

Ἀρχ. Κεφ^{ον} α^{ον} μόριον α^{ον}. **Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.** Τί δήποτε μὴ προτέταχε τῆς τῶν ὅλων δημιουργίας θεολογίαν ὁ συγγραφεύς; Μετρεῖν εἴωθε τοῖς πεπαιδευμένοις ἡ θεία Γραφὴ τὰ μαθήματα καὶ τοῖς μὲν τελείοις προσφέρειν τὰ τέλεια, τοῖς ἀτελέσι δὲ τὰ στοιχειώδη.

